ePublishing
ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
NATIONAL DOCUMENTATION CENTRE

Μακεδονικά

Τόμ. 1



ΜΑΚΕΔΟΝΙΚΑ

ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ ΕΤΑΙΡΕΙΑΣ ΜΑΚΕΔΟΝΙΚΩΝ ΣΠΟΥΔΩΝ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ

1940

Ιωάννου Σταυρακίου λόγος εις τα θαύματα του Αγίου Δημητρίου

Ιωακείμ Ιβηρίτης

doi: 10.12681/makedonika.9146

Copyright © 2016, Ιωακείμ Ιβηρίτης

Άδεια χρήσης Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0.

Βιβλιογραφική αναφορά:

Ιβηρίτης Ι. (2017). Ιωάννου Σταυρακίου λόγος εις τα θαύματα του Αγίου Δημητρίου. *Μακεδονικά*, *1*, 324–376. https://doi.org/10.12681/makedonika.9146

ΙΩΑΝΝΝΟΥ ΣΤΑΥΡΑΚΙΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ ΔΗΜΗΤΡΙΟΥ

Α. ΕΙΣΑΓΩΓΙΚΑ

1. Ὁ βίος τοῦ πολιούχου τῆς Θεσσαλονίκης Ἁγίου Δημητρίου καὶ ἡ ἱστορία τῆς πόλεως ταύτης καθὼς καὶ ἡ ἱστορία τοῦ περιφήμου ναοῦ τοῦ ἁγίου Δημητρίου δὲν ἔχει γραφῆ ἀκόμη ἐπὶ τῇ βάσει ὅλων ἀνεξαιρέτως τῶν σωζομένων πηγῶν· συνεπῶς πᾶσα πληροφορία εἶναι χρήσιμος καὶ πρέπει νὰ προσκομισθῇ εἰς τὰς θημωνίας τῆς ἱστορίας, ἔργον δὲ τοῦ κριτικοῦ εἶναι ἔπειτα νὰ διακαθαρίσῃ τὴν ἅλωνα καὶ τὸν μὲν σῖτον νὰ συνάξῃ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον νὰ κατακαύσῃ. Ὡς γνωστόν, πολυτίμους σχετικὰς πληροφορίας παρέχουν τὰ συναξάρια καὶ τὰ ἐγκώμια τῶν Ἁγίων ἔτι δὲ καὶ οἱ ἀσματικοὶ Κανόνες τῶν ἱερῶν Ἀκολουθιῶν. Συγκεκριμένως ἐνταῦθα διὰ τὸν ἅγ. Δημήτριον ὁ «Λόγος εἰς τὰ θαύματα αὐτοῦ» τοῦ χαρτοφύλακος Θεσσαλονίκης Ἰωάννου Σταυρακίου παρέχει σπουδαιοτάτην συμβολήν, εἶναι δὲ περίεργον ὅτι οὐδὲ ὑπὸ τῶν Βολλανδιστῶν ἐξεδόθη μέχρι τοῦδε, ἂν καὶ ἐπανειλημμένως ἐγένετο μνεία αὐτοῦ, ὡς π.χ. ὑπὸ τοῦ Λ. Ἀλλατίου [1]), τοῦ J. Bekker [2]) καὶ συχνὰ εἰς τὸν 75ον τόμον τῶν Acta Sanctorum. Εἰς τὴν Πατρολογίαν τοῦ Migne, τόμ. 116, εἰς τὸ τέλος τῶν εἰς τὸν ἅγ. Δημήτριον ἀναφερομένων κειμένων καὶ μεταξὺ τῶν «Ἀναλέκτων» στ. 1402κἑξ. γίνεται ἐπίσης μνεία τοῦ κειμένου τούτου τοῦ Σταυρακίου, ὁ δὲ Κρουμβάχερ τονίζει ὅτι περιέχεται οὗτος «ἐν ἱκανοῖς χειρογράφοις», ἀναφέρων ἐν τούτοις μόνον τὸν ὑπ' ἀριθ. 46 Βοδλεϊανὸν κώδικα [3]). Παράφρασιν τινῶν ἐκ τῶν ὑπὸ τοῦ Σταυρακίου διηγουμένων θαυμάτων εὑρίσκομεν ἐκδεδομένην εἰς τὴν καλουμένην «Θύραν Μετανοίας», ἔκδ. Βενετίας 1806, τὴν φερομένην ὑπὸ τὸ ὄνομα τοῦ Θεσσαλονικέως ὑποδιακόνου Δαμασκηνοῦ τοῦ Στουδίτου [4]), κατὰ τὸν πολὺν

---

1. L. ALLATIUS, Georgii Acropolitae magni logotheta historia, Parisiis 1651, σελ. 234, ἔκδ. Βενετίας 1729 σελ. 18.

2. J. BEKKER, Georgii Acropolitae annales, Bonnae 1836, σελ. 236-237.

3. K. ΚΡΟΥΜΒΑΧΕΡ, Ἱστορία τῆς βυζαντινῆς Λογοτεγνίας, τόμ. 1, σελ. 385.

4. Βλ. Κ. ΣΑΘΑ, Νεοελληνικὴ Φιλολογία. —Εἰς τὴν «Θύραν Μετανοίας» εὑρίσκονται συνεκδεδομένοι καὶ οἱ ἀσματικοὶ Κανόνες Νικοδήμου τοῦ Ἁγιορείτου εἰς τὸν ἅγιον Δημήτριον, περὶ ὧν γράφει ὁ ἴδιος εἰς τὸν Συναξαριστήν του, καθὼς καὶ τοῦ ἱερομονάχου Μητροφάνους Γρηγορᾶ τοῦ ἐκ Δωδώνης, μεθ' ἑνὸς θαύματος, ὅπερ συνέβη εἰς τὸν ἴδιον τὸν Μητροφάνην.

καὶ « Μέγαν Χαρτοφύλακα » Μ. Γεδεὼν ὅμως οὖσαν ἔργον Ἰωάννου τοῦ Κομνηνοῦ [1]). Τὰ περισσότερα ἐξ ἄλλου τῶν ὑπὸ τοῦ Σταυρακίου διηγουμένων θαυμάτων εἶναι καὶ ἄλλοθεν γνωστά, ἰδίως δὲ ἐκ τῶν συλλογῶν τοῦ κατὰ τὸ πρῶτον ἥμισυ τοῦ ἑβδόμου αἰῶνος ἀκμάσαντος Ἀρχιεπισκόπου Θεσσαλονίκης Ἰωάννου [2]) καὶ τοῦ κατὰ τὸν 12ον αἰῶνα ἀκμάσαντος, ἐπίσης Ἀρχιεπισκόπου Θεσσαλονίκης Νικήτα [3]). Ἐφ' ὅσον ἐν τούτοις ἠδυνήθην νὰ ἐξακριβώσω τὰ ὑπ' ἀριθ. 10, 14, 20, 21 καὶ 22 κατωτέρω ὑπὸ τοῦ Σταυρακίου διηγούμενα θαύματα δὲν περιέχονται εἰς τὰς μέχρι τοῦδε γνωστὰς δημοσιευομένας συλλογάς. Περίεργον φαίνεται ὅτι ὁ Σταυράκιος, μεταξὺ τῶν ὑπ' αὐτοῦ ἀναφερομένων 22 θαυμάτων, δὲν κάμνει λόγον ἐκτενῆ περὶ τῶν τόσον ἀγαπητῶν λοιμῶν τε καὶ λιμῶν τῆς Θεσσαλονίκης [4]). Τὰ γνωστὰ θαύματα περὶ τοῦ Νέστορος, Λυαίου, τοῦ σκορπιοῦ κλπ. ὁ Σταυράκιος θίγει μόνον.

Ἡ ἔκδοσις τοῦ λόγου τούτου βασίζεται ἐπὶ τοῦ κώδ. Ἰβήρων 677 (ν. 319, Λάμπρου 4797)· τὸ κείμενον καταλαμβάνει τὰ φύλ. 73$^{\beta}$ - 103$^{\alpha}$. Ὁ κῶδιξ οὗτος εἶναι κατὰ τὸν Λάμπρον τοῦ 14^{ου} αἰῶνος καὶ περιέχει βίους, μαρτύρια ἁγίων καὶ πανηγυρικούς. Ἕβδομον κατὰ σειρὰν εἶναι τὸ τοῦ Σταυρακίου κείμενον. Ἡ ἔκδοσις αὕτη ἔχει κυρίως σκοπὸν νὰ δώσῃ εἰς τὴν δημοσιότητα τὸ περιεχόμενον τοῦ σπουδαίου τούτου κειμένου καὶ νὰ τὸ κάμῃ οὕτω προσιτὸν εἰς εὐρύτερον κύκλον ἀναγνωστῶν.

2. Ὁ Ἰωάννης Σταυράκιος, διάκονος καὶ χαρτοφύλαξ τῆς ἐν Θεσσαλονίκῃ Ἐκκλησίας, εἶναι ἄγνωστον πότε ἀκριβῶς ἔζησεν [5]). Ἐπειδὴ ὅμως εἰς τὸ κατωτέρω δημοσιευόμενον κείμενον ἀναφέρεται θαῦμα λαβὸν χώραν ἐπὶ τοῦ αὐτοκράτορος Μανουήλ, δυνάμεθα νὰ ὑποθέσωμεν ὅτι οὗτος ἤκμασε κατὰ ἢ μετὰ τὸν 12ον αἰῶνα. Ἐξ ὅσων δὲ ἀναφέρονται εἰς τὴν τελευταίαν του πρὸς τὸν ἅγ. Δημήτριον ἀποστροφήν, τοῦ Σταυρακίου ἀποτεινομένου οὕτως: « *Ἀλλὰ δέξαι μοι τὴν ψελλίζουσαν ἅμα καὶ ἄτεχνον ταύτην γλῶσσαν τε καὶ*

---

1. Πρβλ. Μ. ΓΕΔΕΩΝ, Ἄθως σελ. 226.

2. Πρβλ. Bibliotheca hagiographica graeca, editio altera emendatior, Bruxellis 1909, σελ. 70 - 72 καὶ MIGNE, Patrol. Graeca τόμ. 116 σελ. 1204 - 1324.

3. Βλ. Α. ΣΙΓΑΛΑ, Νικήτα Ἀρχιεπισκόπου Θεσσαλονίκης, εἰς τὰ θαύματα τοῦ Ἁγ. Δημητρίου, ἐν Ἐπετ. Ἑτ. Βυζ. Σπουδῶν τόμ. 12 (1936) σελ. 317 - 360. Πρβλ. τὸν εἰς τὴν σελ. 323 παρατιθέμενον ἐκεῖ πίνακα τῶν θαυμάτων τῆς συλλογῆς ταύτης κατ' ἀντιπαραβολὴν πρὸς τὰ ὑπὸ τοῦ Ἰωάννου διηγούμενα.

4. Πρβλ. Bibliotheca hag. graeca σελ. 71. Λόγους εἰς τὸν Ἅγ. Δημήτριον ἔχουν γράψει πολλοὶ μεταξὺ τῶν ὁποίων καὶ πολλοὶ Ἀρχιεπίσκοποι Θεσσαλονίκης ὅπως π. χ. ὁ ρηθεὶς Ἰωννης, ὁ Πλωτῖνος, ὁ Ἰωσήφ, ὁ Νικήτας καὶ ὁ Γρηγόριος ὁ Παλαμᾶς· ἐπίσης ἔχομεν λόγους τοῦ Πατριάρχου Φιλοθέου, τοῦ Λέοντος τοῦ σοφοῦ, τοῦ Θεσσαλονικέως Εὐσταθίου, τοῦ Κωνσταντίνου Ἀκροπολίτου, τοῦ Νικολάου Καβάσιλα καὶ ἄλλων. Βλ. αὐτόθι σελ. 74 - 75.

5. Βλ. Κ. ΚΡΟΥΜΒΑΧΕΡ, Ἱστορία τῆς βυζαντιεῆς Λογοτεχνίας, τόμ. 1 σελ. 385.

διάνοιαν εὐμενῶς, ὁ ῥήτωρ τοῦ κηρύγματος τῆς πίστεως τοῦ Χριστοῦ· ὁ τῆς εὐσεβείας μέγας διδάσκαλος καὶ ἐν μάρτυσι συμπαθέστατος, τῆς αὐλῆς σου, ταυτὶ καὶ ἐξ οἰκογενοῦς τὰ ψελλίσματα», ἀποδεικνύεται ὅτι οὗτος ἀνῆκεν εἰς τὴν «αὐλὴν» τῆς Ἐκκλησίας τοῦ ἁγίου Δημητρίου καὶ εἰς τὴν «οἰκογένειαν» τοῦ Ἱ. Ναοῦ, ἤτο δηλονότι ἀξιωματοῦχος, «χαρτοφύλαξ» αὐτοῦ.

Προοιμιαζόμενος ὁ Σταυράκιος λέγει ὅτι πρὸ πολλοῦ ἐσκέπτετο νὰ γράψῃ περὶ τῶν θαυμάτων τοῦ ἁγίου Δημητρίου, ἀλλὰ δὲν ἐτολμοῦσε· ἡ ἀτολμία του ὅμως αὕτη τῷ ἐχρησίμευσε, λέγει, ἀπὸ μιᾶς ἀπόψεως εἰς τὸ νὰ ἀποταμιεύεται ὑλικὸν εἰς τὴν μνήμην του, μέχρις ὅτου παρουσιασθῇ ἡ κατάλληλος εὐκαιρία, ὁποία ἤτο ἡ ἑορτὴ τοῦ ἁγίου Δημητρίου, ὁπότε προέβη καὶ εἰς τὴν συγγραφήν του ταύτην, ἥτις ἀποτελεῖ διανοητικὸν κατασκεύασμα μεταξὺ λόγου ρητορικοῦ καὶ διηγήσεως, εἰς γλῶσσαν λίαν ἐξεζητημένην καὶ ὕφος μέχρι σχολαστικότητος ἐπιτετηδευμένον· αἱ λέξεις καὶ αἱ φράσεις, λίαν τετορνευμέναι, χαρακτηρίζουν τὸν Σταυράκιον ἐντριβῆ καὶ δεξιὸν χειριστὴν τοῦ ἕλληνος λόγου· κάμνει δὲ πλουσίαν ἀλλὰ καὶ ἀβίαστον χρῆσιν τῆς Γραφικῆς φρασεολογίας, μετά τινος φιλοπαίγμονος διαθέσεως πόρρωθεν ὑπαινισσομένης. Ἰδίᾳ ὁ Ἐπίλογος αὐτοῦ εἶναί τι τὸ ἀριστοτεχνικῶς θαυμάσιον ρητορικὸν καλλίστευμα, αἱ δὲ δύο-τρεῖς ἀποστροφαί, τὰς ὁποίας κάμνει πρὸς τὸν ἅγ. Δημήτριον, χαρακτηρίζουσι τὸν Σταυράκιον ἔνθουν τοῦ θρησκευτικοῦ ζήλου καὶ ἄκρως φιλοπόλιδα καὶ φιλόπατριν.

Συνεχίζων τὸ προοίμιον τοῦ λόγου του, ὁ Σταυράκιος, προσθέτει ὅτι, ὅπως ὁ Πλάτων εἰς τὴν Σχολήν του εἶχεν ἐπιγράψει «*μηδεὶς εἰσίτω ἀγεωμέτρητος*» [1]) τοιουτοτρόπως, λέγει, καὶ αὐτός, εἰς τὴν συγγραφὴν τοῦ λόγου τῶν «Θαυμάτων τοῦ Ἁγίου Δημητρίου», ἐπιγράφει «***μηδεὶς εἰσίτω μὴ καθαρός***».

Μετὰ τὸ μεγαληγόρον προοίμιον πλέκει ὁ Σταυράκιος τὸ ἐγκώμιον τῆς πόλεως Θεσσαλονίκης: «*Πόλις—λέγει—αὕτη περιφανὴς καὶ λαμπρά· καὶ Μακεδόνων μὲν κορυφή, Θετταλίας δὲ πάσης ὑπεριδρυμένη θ' ὑπερέχουσα, οἷς τε παντοδαπαῖς ὀλβίζεται χάρισι, καὶ οἷς εἴδεσι καλῶν ἁπάντων ἐναγλαΐζεται*». Μεθ' ὅ, περιγράφει καὶ «ἱστορεῖ» τὸν ἅγιον Δημήτριον διὰ τῶν ἑξῆς· «*Χαριέστατος τὴν μορφήν, τὴν ψυχὴν χαριέστερος· ἔργον ὡς ὄντως τῶν Θεοῦ δακτύλων ἐπάξιον· ἡδὺς τὸ φθέγμα, τὸν τρόπον ἡδύτερος· γλυκὺς τὸν λόγον, τὸ ἦθος γλυκύτερος, πολλὴν μὲν ὑποφαίνων τοῦ ἔνδοθεν ἀνθρώπου τὴν ὡραιότητα, ὡς διὰ παραπετάσματος, οἷον τῆς διαρτίας τοῦ σώματος, τοῖς ἔξω γεγανυμένην προκύπτουσαν· πολὺν δ' ὅτι μάλα τὴν τοῦ δημιουργοῦ Θεοῦ παριστάνων δημιουργικὴν τῆς πρώτης εἰκόνος ἐντέλειαν· διδακτικὸς τῶν*

---

1. Τὸ αὐτὸ ἐπέγραψε καὶ ὁ πολὺς Εὐγένιος ὁ Βούλγαρις εἰς τὴν Ἀθωνιάδα Σχολήν.

τοῦ Χριστοῦ, διδασκαλικὸς τῶν τῆς χάριτος· τὸ ἀπόφθεγμα τῆς γλώττης, ὡς ὑετὸν καὶ ὡς δρόσον φέρων τὰ ῥήματα· τὰ γὰρ τῆς ἔξω τῶν λόγων παιδεύσεως, τοῖς ἐκ τῶν ἔνδον ἦν ἐξευγενίζων καὶ θαυμασίως κατακιρνῶν· ἄσπιλος τὴν ψυχήν, παρθενικαῖς ταῖς χάρισιν ἐναγλαϊζόμενος· τοῦ κρείττονος ἐπάξιον οἰκητήριον, ναὸς τοῦ Ὑψίστου ἡγιασμένος καὶ πρὸ γενέσεως· τὸν οἶκτον πολύς, τὸν ἔλεον, ἐλαία ἄντικρυς ψαλμική». Ἀφοῦ δὲ ἔπειτα μὲ συντομίαν διαλάβῃ τὰ περὶ τοῦ βίου τοῦ ἁγίου Δημητρίου ὡς χριστιανοῦ, καὶ τὰ τῆς ὁμολογίας του κατὰ τὴν ἀνάκρισιν ἐνώπιον τοῦ τυράννου, διηγεῖται τὰ περὶ τῆς μονομαχίας τοῦ Λυαίου καὶ τοῦ Νέστορος καὶ καταλήγει εἰς τὴν περιγραφὴν τοῦ μαρτυρίου τοῦ ἁγίου Δημητρίου. Πάντα ταῦτα, λέγει, τὰ παρατρέχομεν, διότι εἶναι γνωστὰ εἰς ὅλους, «*τίς γὰρ οὐκ οἶδε τά τε ἄλλα καὶ τὴν τοῦ Μεγάλου Δημητρίου μαρτυρίαν καλλίνικον, δι' ἧς φάλαγγας ὅλας δαιμόνων ἠδάφισεν; ἔκειτο μὲν γὰρ κατὰ γῆς ὁ μάρτυς λόγχαις δημίων, τὰ τῆς τρώσεως φέρων ὁλόσωμα· ἔκειτο λύθρους αἱμάτων μαρτυρικῶν, πορφύρα τις φοινικοβαφὴς καθαπερεὶ τῷ Χριστῷ φοινισσόμενος· ὅλος διάτρωτος, ὅλος ὠτειλῶν μυρίων ἀνάμεστος· ἐτέτρωτο οἱ τὰ στέρνα· ἐτέτρωτο τὰ τοῦ θώρακος· ἡ πλευρά, σκεῦος ἐῴκει μυριόπονον· τὰ τῆς γαστρός, μυριοστόμους πηγὰς αἱμάτων ὑπήνοιγε· δέδεκτο καὶ χεῖρες τὸ μανιῶδες ἐκεῖνο καὶ δήμιον λογχοφόρημα· οὕτω δ' ἑκάστου μέλους καὶ μέρους ὁ μάρτυς ἐν ἑαυτῷ μαρτυρικῶν τὸν Θεὸν ἐμεγάλυνεν· οὕτω τὰ στίγματα τοῦ Χριστοῦ τῇ σαρκὶ κατὰ Παῦλον τὸν μέγαν ἐβάστασεν· οὕτως ἠγώνισται· οὕτως ἐδόξασε τὸν ποιήσαντα*». Ἀλλ' ὅπως, λέγει, ὁ ἅγιος Δημήτριος ἐδόξασε τὸν Θεὸν διὰ τοῦ μαρτυρίου του, τοιουτοτρόπως καὶ ὁ Θεὸς ἀντεδόξασεν αὐτὸν διὰ μυρίων καὶ ἐξαισίων θαυμάτων. Καὶ ἄν, ἀντὶ ἑνὸς ποτηρίου ψυχροῦ ὕδατος, ὅπως λέγει τὸ Εὐαγγέλιον, μᾶς δίδεται μισθὸς καὶ ἀμοιβὴ ἐν οὐρανῷ, πολὺ περισσοτέρα ἀνταπόδοσις δίδοται εἰς ἐκεῖνον, ὅστις χύνει τὸ αἷμα του ὑπὲρ Χριστοῦ, «*ὅπου ὅλα μαρτυρικῶν αἱμάτων ὑπὲρ Χριστοῦ ἐκκέχυται ρεύματα· ὅπου κρουνοὶ λύθρων τῆς σωματικῆς διαρτίας τοῦ μάρτυρος ἀπερρύησαν· πορευόμενος γὰρ ἐπορεύετο ὁ μέγας οὗτος τὴν τοῦ μαρτυρίου ὁδόν, αἵματα σπείρων τῆς οἰκείας σαρκὸς ὑπὲρ τῆς εἰς Θεὸν πίστεως τιθεὶς τὴν ψυχήν, ὡς ἐνταῦθα μὲν μυρία μύρα θερισείου, ἐκεῖθεν δὲ πολυπληθῆ τὰ θαύματα ὡσεὶ δράγματα δρέψαιτο*». Καὶ οὕτως εἰσέρχεται εἰς τὰ θαύματα τῶν ὁποίων διηγεῖται εἰκοσιδύο καὶ τῶν ὁποίων περίληψιν θεωροῦμεν καλὸν νὰ παραθέσωμεν ἐνταῦθα.

α') Ἐκ τῆς διηγήσεως τοῦ πρώτου θαύματος πληροφορούμεθα ὅτι τὸ σῶμα τοῦ Ἁγίου, μετὰ τὸν μαρτυρικόν του θάνατον, ἦτο κεκρυμμένον «*περὶ τὰς τοῦ λουτροῦ στοάς*» μέχρις ὅτου καταπαύσῃ ὁ κατὰ τῶν χριστιανῶν διωγμός. Ὁ ὕπαρχος Λεόντιος, θεραπευθεὶς διὰ θαύματος τοῦ ἁγίου Δημητρίου, κατηδάφισε τὰς στοὰς τοῦ λουτροῦ, ὅπου ἔκειτο τὸ λείψανον, καὶ ἐξ εὐγνωμοσύνης πρὸς τὸν Ἅγιον ἀνήγειρε λαμπρὸν Ναὸν «*μέσον τὸν μαρτυρικὸν θησαυρὸν πλουτοῦντα*». Διὰ τῆς ἐκφράσεως ταύτης θέλει νὰ σημάνῃ

ἄραγε ὅτι τὸ ἅγιον λείψανον, δηλαδὴ ὁ τάφος τοῦ Ἁγίου, ἔκειτο εἰς τὸ «*μέσον*» τοῦ ναοῦ, ἢ ὅτι ἦτο ἁπλῶς ἐντὸς τοῦ ναοῦ. Μᾶλλον ὅμως φαίνεται τὸ πρῶτον, διότι τὸ «μέσον» καθορίζεται ἐκ τῆς ἑπομένης ἐκφράσεως «ὡσεὶ ξύλον ἄλλο ζωῆς», ὅπερ «ξύλον τῆς ζωῆς» ἔκειτο, Γραφικῶς, εἰς τὸ μέσον τοῦ Παραδείσου. Ἦτο δὲ ὁ Λεόντιος οὗτος στρατηγὸς τοῦ ἰλλυρικοῦ στρατοῦ ἐπὶ Ζήνωνος κατὰ τὸ 479. Οὗτος μετὰ τὴν θαυματουργικὴν διάβασιν τοῦ Ἴστρου ἔν τινι ἐκστρατείᾳ του, ἔκτισε ναὸν ἐπ' ὀνόματι τοῦ ἅγ. Δημητρίου εἰς τὸ Σίρμιον (νῦν Μητροβίτσα) καὶ ἐντὸς τοῦ ναοῦ τούτου ἐναπέθεσε τὴν «*χλαμύδα*» τοῦ ἁγίου, τὴν ὁποίαν ἐφόρει κατὰ τὸν μαρτυρικόν του θάνατον, «*βεβαμμένην λύθρῳ τῶν Δημητριακῶν αἱμάτων*» καὶ τὴν *ζώνην* καὶ τὸν *δακτύλιον*, ἅτινα εἶχε κλέψει ὁ φύλαξ τοῦ τάφου Λοῦπος «*ὁ ἐλευθερογνώμων*» καὶ δι' αὐτῶν ἔκαμνεν ἰάσεις εἰς τὸν λαόν, διὰ τὰς ὁποίας κατηγγέλθη καὶ ἐσφάγη εἰς τὸ Τριβουνάλιον τῆς Πόλεως.

β') Ἐκ τοῦ δευτέρου Θαύματος πληροφορούμεθα ὅτι ὁ Ἔπαρχος Μαρκιανὸς (Μαριανὸς) προσβληθεὶς ὑπὸ νόσου —πάρεσις ὁλομελὴς— ἐθεραπεύθη διὰ θαυματουργικῆς ἐπεμβάσεως τοῦ Ἁγίου· περιλαμβάνει δὲ ἡ ἐξιστόρησις τοῦ θαύματος τούτου ἐθνικάς τινας γοητείας, σχέσιν ἐχούσας πρὸς τὰς σημερινὰς νοομαντείας, τοὺς ὑπνωτισμοὺς κ.τ.τ. Ἐνταῦθα γίνεται μνεία καὶ περί τινος μεμβράνης, ἐφ' ἧς ἦσαν γεγραμμένα ὀνόματα θεῶν καὶ περιγραφαὶ κύκλων καὶ ἡμικύκλια καὶ διάφορα σχήματα καὶ τύποι εἰδώλων ὑπερφυεῖς· τὴν μεμβράνην ταύτην περιετίθεντο οἱ ἀσθενεῖς περὶ τὸν τράχηλον διὰ νὰ γίνωσιν ὑγιεῖς.

γ') Ἐνταῦθα ἀναφέρεται ὅτι ὁ νεωκόρος τοῦ ναοῦ ἔκλεπτε τὸ χρῆμα τῶν κηρίων —παλαιὰ ἁμαρτία τῶν περὶ τὰ παγγάρια— ἐτιμωρήθη ὅμως δι' ἐλέγχου ὑπὸ τοῦ Ἁγίου καὶ ἐζήτησε συγχώρησιν.

δ') Ὁ αὐτοκράτωρ Ἰουστινιανὸς ἐνόμιζεν ὅτι ἡ αὐτοκρατορία του δὲν θὰ ἦτο ἐν ἀσφαλείᾳ, ἂν δὲν θὰ εἶχε τεμάχιόν τι τῶν ἁγίων λειψάνων τοῦ μεγαλομάρτυρος Δημητρίου καὶ ἐζήτησεν ἀπὸ τοὺς Θεσσαλονικεῖς τοιοῦτο. Ἐπειδὴ ὅμως τὰ ἀναβλύζοντα μύρα ἐκ τοῦ ἁγίου λειψάνου ἦσαν τόσον πολλά, ὥστε δὲν ἦτο δυνατὸν νὰ ἀνασκάψωσι κατ' εὐθεῖαν πρὸς τὴν ροὴν τῶν μύρων, ἠναγκάσθησαν καὶ ἔσκαψαν ἐκ τοῦ πλαγίου μέρους, οὕτως ὥστε νὰ προλάβωσι «*ἁρπαλέως*» καὶ νὰ κόψωσι μέρος τι τοῦ ἁγίου λειψάνου. Ἀλλὰ καὶ ἐνταῦθα «*πῦρ ἐκεῖθεν ἐκπηδῆσαν*» ἐματαίωσε τὴν «*καλὴν ἱεροσυλίαν*».

ε') Ὁ αὐτοκράτωρ Μαυρίκιος ἐπίσης ἠθέλησε νὰ ἀποκτήσῃ μέρος τῶν ἁγίων λειψάνων τοῦ Μάρτυρος, ἀλλ' ὅταν ἔμαθεν, ὅσα ἔπαθον οἱ τοῦτο πρότερον ἐπιχειρήσαντες, ἀπέστη τοῦ ἐγχειρήματος. Ἐνταῦθα περιλαμβάνονται καὶ ἕτερα θαύματα ἧττονος σημασίας.

ς') Ἐνταῦθα ἀναφέρεται ὅτι ὁ θρόνος, τὸ ἄλλως «*κιβώριον*» καλούμενον τοῦ Ἁγίου (τὸ ἰκρίωμα ἴσως, ἐφ' οὗ ἐτίθετο ἡ μαρτυρικὴ λάρναξ, ἢ καὶ αὐτὴ αὕτη ἡ λάρναξ) ἦτο ἐκ χρυσοῦ καὶ ἀργύρου, εἴτε ὑπὸ τῶν γονέων

καὶ συγγενῶν τοῦ μάρτυρος ἀφιερωμένος, εἴτε παρὰ φιλοχρίστου τινός. Ὁ πλούσιος οὗτος διάκοσμος τοῦ ἱεροῦ ναοῦ, ἀλλὰ καὶ ἡ εὐθηνία τῶν ἀγαθῶν τῆς Θεσσαλονίκης, εἵλκυσε τοὺς Σκλαβηνούς, οἵτινες ἐπέπεσαν κατ' αὐτῆς· ὁ Ἅγιος ὅμως αὐτοπροσώπως ὑπερημύνατο τῆς πόλεως. Ἐγένετο δὲ τοῦτο κατὰ τὴν ἡμέραν τῆς ἑορτῆς τοῦ ἁγίου Δημητρίου. Τὴν ἑσπέραν, ὁπότε ὁ κόσμος, ἕνεκα τῆς ὁλονυκτίου ἀκολουθίας καὶ ἀγρυπνίας καὶ τῶν συνήθων διασκεδάσεων ἦσαν βεβαρυμένοι καὶ κατερραστωνευμένοι, συνέβη ἐξ ἀμελείας τοῦ νεωκόρου πυρκαϊὰ εἰς τὸν ναόν, καὶ ἰδίᾳ εἰς τὴν λάρνακα τοῦ Ἁγίου· ὁ δὲ νεωκόρος, διὰ νὰ μὴ ἐπιπέσῃ τὸ πλῆθος καὶ διαρπάσῃ τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ἐπενόησε νὰ διαδώσῃ ὅτι ἐχθροὶ ἦλθον πέριξ τῶν τειχῶν, οὕτως δὲ νὰ διασκεδασθῇ ἡ ἐκ τῆς πυρκαϊᾶς ἐντύπωσις. Ἀλλὰ τὸ ἐπινόημα τοῦτο, τὸ κατὰ μαρτυρικὴν ἐπίπνοιαν τοῦ ἁγίου, ἦτο ἀληθές. Ὁ θρόνος ὁ χρυσάργυρος ἐτάκη· τότε δὲ εὐσεβεῖς τινες χριστιανοὶ προσεφέρθησαν νὰ κατασκευάσωσιν ἐκ νέου τὴν λάρνακα.

ζ') Ἀφοῦ ἐκάη ἡ λάρναξ καὶ ἐτάκη τὸ χρυσάργυρόν της ὑλικόν, φιλομάρτυρές τινες χριστιανοὶ ἠθέλησαν νὰ χωνεύσωσιν ἐκ νέου τὸν ἀργυρήλατον θρόνον καὶ τὸ ἐλλεῖπον τοῦ χρυσοῦ καὶ ἀργύρου νὰ τὸ συμπληρώσουν, ἀλλ' ὁ Μάρτυς, φανεὶς κατ' ὄναρ, ἠμπόδισε τὴν χώνευσιν.

η') Θαυμασία καὶ λίαν παραστατικὴ εἶναι ἡ περιγραφὴ τῆς ὑπὸ τοῦ ἀρχηγοῦ τῶν Σκλαβούνων Χάτζωνος πολιορκία τῆς Θεσσαλονίκης κατὰ ξηρὰν καὶ θάλασσαν. Ὁ Χάτζων ἡττηθεὶς τῇ θαυματουργικῇ ἐπεμβάσει τοῦ ἁγίου Δημητρίου ζωγρεῖται καὶ ἀθλίως καὶ ἐλεεινῶς φονεύεται.

θ') Ἐπὶ αὐτοκράτορος Μαυρικίου τὰ τοῦ Βυζαντίου οὐριοδρόμουν· ἐπὶ τοῦ διαδεξαμένου ὅμως αὐτὸν Φωκᾶ τὰ τοῦ κράτους ἀπέβησαν εἰς ἀναρχίαν, σύγχυσιν καὶ ταραχὴν κατὰ τὸν Σταυράκιον. Ἐν μέσῳ τοῦ κρατικοῦ τούτου κλύδωνος μόνον τὰ τῆς Θεσσαλονίκης ἐκυβερνῶντο ἐν «εὐταξίᾳ». Τοῦτο ἐδείχθη καὶ διὰ μιᾶς ὀπτασίας, ἣν εἶδε συγγενής τις τοῦ Ὑπάτου τῶν Ἰλλυριῶν· περιγράφεται δὲ ἡ ὀπτασία καὶ ἡ γυνὴ Εὐταξία, συμπαρισταμένη μετὰ τοῦ Μάρτυρος, ὡς ὑπὸ Θεοῦ πεμφθεῖσα, ἵνα κυβερνᾷ μετ' αὐτοῦ τὴν Θεσσαλονίκην.

ι') Ὁ ἐν Ἁγίῳ Ὄρει Βιτάλιος ἀπιστεῖ διὰ τὸ πλῆθος τῶν μύρων τοῦ ἁγίου Δημητρίου, ἰσχυριζόμενος ὅτι ὁ ἅγιος Δημήτριος δὲν ὑπέστη τόσον μέγα μαρτύριον, ὥστε νὰ ἀξιωθῇ τόσης μεγάλης χάριτος, νὰ λαμβάνῃ δὲ τόσος κόσμος μύρα καὶ νὰ μὴ τελειώνουν. Τὴν ἀπορίαν ταύτην λύει ὁ συγγραφεὺς ὡς ἑξῆς: Παρομοιάζει τὸν μὲν ἅγιον Δημήτριον ὡς μυροθήκην, ἔχοντα ἐν ἑαυτῷ τὸν Χριστόν, αὐτὸν δὲ τὸν Χριστὸν ὡς αὐτὸ τοῦτο τὸ μύρον τὸ ἀνεξάντλητον. Ἀλλὰ καὶ διὰ θαύματος πείθεται ὁ Βιτάλιος περὶ τῆς πληθύος τῶν μύρων. Εἶδεν οὗτος καθ' ὕπνους καὶ περιγράφει τὸν τόπον, τὴν θέσιν, τὸ βάθος, τὸν ἀριθμὸν τῶν μαρμάρων, καὶ τέλος τὴν πληθὺν τῶν μύρων, ἐκ τῶν ὁποίων καὶ αὐτὸς ὁ ἴδιος διὰ «κουτρουβίου» ἤν-

τλησε. Μετὰ τὰ γενόμενα ἀνεχώρησεν ὁ Βιτάλιος, συνοδευθεὶς ὑπὸ τοῦ νεωκόρου μέχρι τόπου τινὸς καλουμένου «Ἁλμυρός».

ια΄) Ἀρχιερεύς τις Κυπριανὸς ὀνόματι ἐξ Ἀφρικῆς, μεταβαίνων εἰς Κωνσταντινούπολιν, ᾐχμαλωτίσθη καθ᾽ ὁδὸν ὑπὸ πειρατῶν, ἐλυτρώθη δὲ διὰ θαυματουργικῆς ἐπεμβάσεως τοῦ Ἁγίου. Ἐπανελθὼν κατόπιν εἰς τὴν ἐν Ἀφρικῇ ἐπαρχίαν του, ἔκτισε ναὸν ἐπ᾽ ὀνόματι τοῦ ἁγίου Δημητρίου, ὑποδειχθέντων τῶν πρὸς κτίσιν μαρμάρων ὑπὸ τοῦ Ἁγίου κατ᾽ ὄναρ.

ιβ΄) Ἐπὶ Μαυρικίου αὐτοκράτορος Ἰλλούστριος (πρωτοσπαθάριος) ἀνὴρ εὐσεβής, εὑρεθεὶς εἰς τὸν ναὸν τοῦ ἁγίου Δημητρίου, εἶδε κατ᾽ ὄναρ δύο ἀγγέλους, ἱσταμένους παρὰ τοὺς εἰς τὸ δυτικὸν μέρος ὑπάρχοντας δύο μεγάλους πρασίνους κίονας, «*θετταλοὺς καλουμένους*» καὶ ὅτι οἱ δύο οὗτοι στρατιωτικῶς ἐνδεδυμένοι, εἶπον εἰς τὸν ἅγιον Δημήτριον, ὅτι ὁ Βασιλεὺς διατάσσει «νὰ ἐγκαταλίπῃς τὴν πόλιν σου, διότι θὰ τὴν κυριεύσῃ ἐκεῖνος». Τοῦτο ἀνεκοινώθη εἰς τοὺς Θεσσαλονικεῖς. Ἀλλ᾽ ὁ Ἅγιος παρακαλέσας τὸν Θεὸν ἔδωκεν εἰς τοὺς πολίτας νὰ ἐννοήσωσιν ὅτι πρέπει νὰ σωφρονισθῶσι· ὅπερ καὶ ἐγένετο καὶ οὕτως ἐσώθη ἡ πόλις.

ιγ΄) Τὸ ἔθνος τῶν Ἀβάρων, «Οὐνικὸν ὁμοῦ καὶ Βουλγαρικόν», ἐπέδραμε καὶ ἐπολιόρκησε τὴν Θεσσαλονίκην ὑπὸ ἄρχοντα Χαγάνον, διὰ πολιορκητικῶν μηχανῶν, χελωνῶν βεβυρσωμένων κ.τ.τ., ἐκσφενδονίζοντες μεγάλους βράχους κατὰ τῶν τειχῶν· ἀλλ᾽ ὁ ἅγιος ἐμπνέει τινά, ὅστις λαβὼν λιθίδιον καὶ ἐπιγράψας «ἐν τῷ ὀνόματι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἅγιε Δημήτριε, βοήθει», τὸ ἐξεσφενδόνισε· τοῦτο δὲ συνήντησε τὸν ἐχθρικὸν ἔξωθεν βαλλόμενον βράχον καὶ τὸν κατέβαλε. Πολλάκις ἐπαναληφθὲν τοῦτο, ἠνάγκασε τὸν ἐχθρὸν νὰ λύσῃ τὴν πολιορκίαν καὶ νὰ φύγῃ.

ιδ΄) Ὁ Ραδομίρος, υἱὸς τοῦ ἡγεμόνος τῶν Βουλγάρων, κατεδυνάστευε πάντας μὲν τοὺς ὑπὸ τὸ σκῆπτρόν του λαούς, πρὸ πάντων ὅμως τοὺς κατοίκους τοῦ χωρίου «*Σοσκός*», οὕτως ὀνομαζομένου ἔκ τινος παλαιοτάτου οἰκήτορος. Ὁ τόπος οὗτος ἦτο κατάλληλος πρὸς θήραν, ὁ δὲ Ραδομίρος μετέβαινε συχνὰ ἐκεῖ καὶ διημέρευε περὶ τὴν κυνηγεσίαν, ἀπέβη λοιπόν, ὡς ἐκ τούτου, ἡ μάστιξ τῶν πέριξ κατοίκων, οἵτινες εἰς ἀπόγνωσιν ἐλθόντες, ἐπεκαλέσαντο τὴν βοήθειαν τοῦ ἁγίου Δημητρίου. Τὴν παράκλησιν τούτων ἐπακούσας ὁ ἅγιος Δημήτριος, ἐπιπίπτει μιᾷ τῶν ἡμερῶν ἔφιππος κατὰ τοῦ ἐπίσης ἐφίππου Ραδομίρου καὶ κατασφάττει αὐτόν, ἀπαλλάξας οὕτω τοὺς κατοίκους ἀπὸ τῆς μάστιγος ταύτης. (Ραδομίρος εἶναι ὁ ἐνίοτε ὑπὸ τοὺς πόδας τοῦ ἵππου τοῦ ἁγίου Δημητρίου ζωγραφιζόμενος εἰς τὰς εἰκόνας τοῦ ἐφίππου ἁγίου Δημητρίου.)

ιε΄) Ρυχῖνοι, Στρυμόνιοι καὶ Σαγουδάτιοι, ἔθνη σκυθικὰ καὶ σλαβωνικά, ὑπὸ ἀρχηγὸν ὀνόματι Περβοῦτον, ὅστις ἦτο σύμμαχος Λέοντος τοῦ Σοφοῦ, ἐπέδραμον κατὰ τῆς Θεσσαλονίκης καὶ τῇ ἀνοχῇ τοῦ Λέοντος πολιορκοῦσι ταύτην, οἱ μὲν Στρυμόνιοι ἐξ ἀνατολῶν καὶ βορρᾶ, οἱ δὲ Ρυχῖνοι καὶ

οἱ Σαγουδάτιοι ἐκ δυσμῶν καὶ θαλάσσης. Οὕτω στενοχωροῦντες καὶ πιέζοντες τὴν πόλιν, ἐπυρπόλησαν τὸ πρὸς βορρᾶν τῆς πόλεως παραπύλιον καὶ εἰσώρμησαν ἐντὸς αὐτῆς. Ἀλλ' ὁ ἅγιος Δημήτριος δυσωπηθεὶς ὑπὸ τῶν ἱκεσιῶν τῶν πολιτῶν, ἐπέπεσε καὶ κατέστρεψε τοὺς ἐχθρούς.

ιϛ') Ἀνήρ τις Θεσσαλονικεύς, μεταβὰς εἰς Κωνσταντινούπολιν, ἐτυφλώθη· ζητήσας δὲ παρὰ τοῦ ἁγίου Δημητρίου τὴν ἴασίν του, παρεπέμφθη ὑπ' αὐτοῦ εἰς τὸν ἐν Κ)πόλει ναὸν τῆς Θεοτόκου, ἥτις καλεῖται « ***Τὸ Οἰκονομεῖον*** », [1]) ὅπου ὁ τυφλωθείς, ἰαθείς, εἶδε τὴν ἁγίαν εἰκόνα τοῦ ἁγίου Δημητρίου « ἐν ψηφηδωτοῖς ».

ιζ') Θεραπεία ἑτέρου τυφλοῦ ἐξ Ἀδριανουπόλεως. Τοῦτον εὑρὼν καθ' ὁδὸν ὁ Ἅγιος ἔφιππος, συμπαρέλαβε καὶ μετήγαγεν αὐτὸν εἰς τὸν ναὸν αὐτοῦ, ἔνθα καὶ τὸν ἐθεράπευσε.

ιη') Εἰς τὸ θαῦμα τοῦτο ἀναφέρεται, ὅτι πρὸς ἀνατολὰς τῆς πόλεως ὑπάρχει « Πηγὴ ὕδατος », ἐκ πέτρας ἐσχισμένης ῥέοντος καὶ ἐκεῖ ὑπάρχει χῶρος πεδινὸς καὶ ναὸς τοῦ ἁγίου Δημητρίου, ἢ μᾶλλον μονή, ἐπ' ὀνόματι τοῦ ἅγ. Δημητρίου. Εἰς τὸ μέρος τοῦτο παραπέμπει ὁ Ἅγιος ἀξιωματοῦχον τινα βασιλικὸν παράλυτον, ἵνα θεραπευθῇ. [2]) Μετὰ τὴν θεραπείαν τοῦ παραλύτου τὸ ὄνομα τοῦ ἁγίου ἦτο « *Ἁρμουγένης* ».

ιθ') Ἡ Θεσσαλονίκη εἶχε κυριευθῇ ὑπὸ τῶν Ἀγαρηνῶν. Τότε τινὲς ἐξ Ἰταλίας, συνοδευόμενοι ἀπὸ τὸν ἅγιον Ἀχίλλιον καὶ ἐρχόμενοι εἰς προσκύνησιν τῶν σεβασμάτων τῶν μερῶν τούτων, εἶδον ἐν ὀπτασίᾳ τὸν ἅγιον Δημήτριον, κατηφῆ ὄντα. Ὁ ἅγιος Ἀχίλλιος ἠρώτησε νὰ μάθῃ τὸ αἴτιον τῆς κατηφείας του ταύτης, ὁ δὲ ἅγιος Δημήτριος ἀπήντησεν ὅτι « ἑάλω μοι ἡ πόλις τοῖς ἐκ τῆς Ἄγαρ· ἑάλω παραδοθεῖσα πρὸς Θεοῦ εἰς ἀφανισμόν· βεβήλωταί μοι νῦν ὁ ναὸς αἱμάτων ῥείθροις τῶν πολιτῶν· κατεπατήθη τὰ ἱερὰ ποσὶ βεβήλοις καὶ πῦρ τὰ ὡραῖα τῆς πόλεώς μοι κατέφαγε! ». Τότε οἱ Ἰταλοί, ὧν εἷς γραικίζειν ἢ ἑλληνίζειν ἠπίστατο, ἐρωτήσαντες καὶ πληροφορηθέντες τὴν ἅλωσιν τῆς Θεσσαλονίκης, κατηυθύνθησαν πρὸς τὴν Κωνσταντινούπολιν.

κ') Ὁ αὐτοκράτωρ Μανουήλ, τὸν ὁποῖον περιγράφει ὁ Σταυράκιος ὡς μεγαλοπρεπῆ καὶ φιλόκαλον, εἶχε διατάξει νὰ κατασκευάσωσι μίαν ἅλουργίδα πολύτιμον, τὴν ὁποίαν νὰ φορῇ κατὰ τὰς ἐπισήμους ἡμέρας καὶ νὰ τὴν ἐπιδεικνύει εἰς τοὺς ξένους. Ταύτην διέταξε τοὺς βασιλικούς του θεράποντας νὰ τὴν ἐξαγάγουν διὰ τὴν ἡμέραν τῆς λαμπροφόρου Ἀναστάσεως· ἀλλὰ « νύκτωρ λωποδυτεῖ ταύτην ὁ Ἅγιος », μετὰ δ' ἔρευναν εὑρέθη ἐπὶ τοῦ τάφου τοῦ Ἁγίου. Συνεπείᾳ τοῦ γεγονότος τούτου, φιλοτιμηθεὶς ὁ αὐτοκρά-

---

1. Δὲν ἀναφέρεται εἰς τὸν Κατάλογον τοῦ « Β. Ἑορτολογίου » τοῦ Μ. Γεδεών.

2. Πιθανώτατα πρόκειται περὶ τῆς μονῆς Χορταΐτου, ἥτις ὁμοιάζει πρὸς τὴν περιγραφὴν τοῦ τόπου ἐνταῦθα.

τωρ, ἀφιέρωσε διὰ χρυσοβούλλου ἐγγράφου εἰς τὸν ναὸν τοῦ ἁγίου Δημητρίου τὴν χώραν τὴν καλουμένην «***Μελιδόνιον***», ἀντὶ τῶν νικῶν, ἃς πολλάκις ἐδωρήσατο αὐτῷ ὁ ἅγιος.

κα') Περιγράφει παραστατικώτατα πολιορκίαν τῆς Θεσσαλονίκης ὑπὸ τοῦ βασιλέως τῶν Βουλγάρων Ἰωαννίτζη. Ἐπὶ αὐτοκράτορος Λέοντος, ὁ βασιλεὺς τῶν Βουλγάρων Ἰωάννης-Ἰωαννίτζης, ἐξεστράτευσε κατὰ τῆς Μακεδονίας, ἔχων ὡς ἀρχιστράτηγον τὸν Μαναστρᾶν· κατερχόμενοι δὲ πρὸς τὴν Θεσσαλονίκην, κατασκηνώνουσιν ὁ μὲν Μαναστρᾶς παρὰ τὰς πεδιάδας τοῦ Γαλλικοῦ, εἰς δὲ τὰ Λαγκαδᾶ αὐτὸς οὗτος ὁ Ἰωαννίτζης. Ἐκεῖθεν δὲ ὁ μὲν «γαλλικόθεν», ὁ δὲ «λαγκαδόθεν» περικυκλοῦσι τὴν πόλιν. Ὁ Ἰωαννίτζης πληροφορηθεὶς τὰ περὶ τοῦ ἁγίου Δημητρίου καὶ τοῦ ναοῦ αὐτοῦ, ἀφιππεύσας, οὕτως ηὔξατο βουλγαριστί: «*δεῖ γὰρ ἀπαραποιήτως ἐκ μέρους εἰπεῖν τὴν βάρβαρον ἐκείνην φωνὴν «Σφετὶ Δημήτριε», εἰ τὴν πόλιν ταύτην πορθήσαιμι, ποιήσομαί σοι καλὸν Μοναστήριον*»! Ἀλλὰ διὰ θαύματος, ὁ Ἰωαννίτζης πληγώνεται νύκτωρ, ὁ δὲ Μαναστρᾶς, παραλαβὼν τὰ στρατεύματα, ἔλυσε τὴν πολιορκίαν καὶ ἀπῆλθεν. Οὕτως ἐλυτρώθη ἡ πόλις.

κβ') Εἰς τὸ θαῦμα τοῦτο ἐπαναλαμβάνεται ἡ πληθώρα τῶν μύρων καὶ αἱ δεξαμεναὶ καὶ οἱ κρουνοὶ καὶ αἱ ἄφθονοι πλύσεις καὶ οἱ ἐξ αὐτῆς τῆς σοροῦ τοῦ Μάρτυρος ἐκπηγάζοντες ὀχετοί, τῶν ὁποίων τὴν ροὴν ἀπεπειράθη τις τῶν μοναχῶν νὰ μεταστρέψῃ, ἀλλ' ἐλέγχεται ὑπὸ τοῦ Ἁγίου, ὡς ἄτοπα λογιζόμενος.

3. Σπανίως ἅγιος συνέδεσε τὴν μνήμην αὐτοῦ τόσον στενῶς πρὸς τὰς περιπετείας τῆς πατρίδος του, ὅπως ὁ ἅγιος Δημήτριος. Εἰς πάσας τὰς πολιορκίας τῆς Θεσσαλονίκης καὶ εἰς πάντας τοὺς πολέμους καὶ τὰς ἐχθρικὰς ἐπιθέσεις κατὰ τῆς Θεσσαλονίκης, πάντοτε ὁ ἅγιος Δημήτριος παρίσταται ὡς πρωταγωνιστοῦν πρόσωπον καὶ μόνον διὰ τῆς θαυματουργικῆς αὐτοῦ ἐπεμβάσεως ἐσώζετο καὶ ἐλυτροῦτο ἡ πόλις ἀπὸ τὰ ἑκάστοτε ἐπερχόμενα εἰς τὴν Μακεδονικὴν πρωτεύουσαν δεινά, ἀφοῦ καὶ ἡ κατὰ τὸ 1912 ἀπελευθέρωσις συνέπεσε μὲ τὴν μνήμην τοῦ ἁγ. Δημητρίου, τὴν 26 Ὀκτωβρίου. Ἀλλὰ καὶ ἡ εὐδαιμονία τῆς πόλεως καὶ ἡ καλὴ αὐτῆς διακυβέρνησις εἰς τὸν ἅγιον Δημήτριον ὠφείλετο. Ἡ ἀγάπη του πρὸς τὴν πόλιν τῆς Θεσσαλονίκης καὶ ἡ στοργή του πρὸς τὴν πατρίδα του διαφαίνεται μετὰ τρυφερότητος καθ' ὅλας του τὰς θαυματουργικὰς ἐνεργείας μέχρι τοιούτου βαθμοῦ, ὥστε νὰ ἀποκαλῇ τὴν Θεσσαλονίκην «πόλιν του». Θρηνεῖ καὶ ὀδύρεται διὰ τὴν ἅλωσιν τῆς Θεσσαλονίκης ὑπὸ τῶν Ἀγαρηνῶν καὶ ὅταν συνήντησε τὸν ἅγιον Ἀχίλλιον ἀνακράζει: «ἐάλω μοι ἡ πόλις! ἐάλω, παραδοθεῖσα εἰς ἀφανισμόν! βεβήλωταί μοι νῦν ὁ ναός! κατεπατήθη τὰ ἱερὰ ποσὶ βεβήλοις καὶ πῦρ τὰ ὡραῖα τῆς πόλεώς μοι κατέφαγε».

Χαρακτηριστικώτερον καὶ παραστατικώτερον τῆς στοργῆς ταύτης καὶ τῆς ἀγάπης δεῖγμα ἀποτελεῖ ἡ ἀκόλουθος στιχομυθία μεταξὺ τοῦ ἁγίου Δη-

μητρίου καὶ τῆς πόλεως Θεσσαλονίκης, ἀποδιδομένη εἰς Συμεῶνα τὸν Θεσσαλονίκης καὶ τὴν ὁποίαν εὑρίσκομεν εἰς τὴν «Θύραν Μετανοίας» δημοσιευμένην:

Ἅγ. Δημ. *Μὴ ἀνιῶ, ὦ πατρίς μου,*
ὑπαχθεῖσα τυράννους
ὧν δι' ἐμοῦ ἀπαλλαγὴν
εὑρεῖν ἐπιζητεῖς·
ἐκλυτρώσομαι γὰρ καὶ νῦν
ἐκ θλίψεων
καὶ πληρώσω ἐνθέων ἀγαθῶν
καὶ φυλάξω καὶ σώσω,
λέγει Δημήτριος.

Θεσ)νίκη *Ἐπὶ ταῖς σαῖς μεσιτείαις*
τῶν δεινῶν λυτρωθεῖσα,
ὑπὸ τὰς σὰς διεφυλάχθην
πτέρυγας ἀεί·
νῦν δὲ παρὰ δόξαν
ἀναμέσον τῶν δεινῶν
στροβουμένη ἀθλίως
προστρέχω ἐπὶ σὲ
καὶ κραυγάζω:
βοήθει μοι, Δημήτριε.

Ἅγ. Δημ. *Γῆ με καλύπτει καὶ τάφος,*
ἀλλὰ πλήρης ὁ κόσμος ἐμῆς ὀσμῆς,
τῆς ἐκ τῶν μύρων χάριτι Χριστοῦ·
Μὴ φοβοῦ οὖν, πατρίς μου,
ἐμὲ κατέχουσα,
τοὺς ἐχθροὺς γὰρ πάντας πατάξω ἐν Χριστῷ
καὶ φυλάξω καὶ σώσω Σέ, τὴν τιμῶσάν με.

Θεσ)νίκη *Ἀγγαλλιάσθω γῆ πᾶσα Θεσσαλονίκη, χαῖρε ἡ εὐσεβής,*
ὁ γὰρ Χριστοῦ ὁπλίτης ὁ λαμπρὸς
μετὰ σοῦ οἰκεῖ φρουρῶν
καὶ σώζων σε,
τοὺς ἐχθρούς σου συντρίβων,
πληρῶν σε ἀγαθῶν,
ᾧ καὶ κράζει τιμῶσα,
χαίροις, Δημήτριε.

Β. ΚΕΙΜΕΝΟΝ

Τοῦ σοφωτάτου καὶ λογιωτάτου Χαρτοφύλακος Θεσσαλονίκης κὺρ Ἰωάννου τοῦ Σταυρακίου Λόγος εἰς τὰ θαύματα τοῦ Μυρορρόα Μεγάλου Δημητρίου.

1. Ὁ λόγος, τῷ μυρορρόᾳ Δημητρίῳ, τὰ θαύματα· ποῦ γὰρ δίκαιον τὴν τοσαύτην τῶν θαυμάτων πηγὴν μὴ καὶ λόγοις δημοσιεύεσθαι καὶ διηγήμασιν ἐπ' ἐκκλησίας παρρησιάζεσθαι καὶ ταῖς χριστωνύμων ἀκοαῖς τὸν τοσοῦτον πλοῦτον ἐνθησαυρίζεσθαι; εἰ γὰρ πᾶσα φύσις, ὅση τε ἐν αἰσθητοῖς, ὅση τε ἐν νοητοῖς, αὐτοφυῶς τοῦ ἀγαθοῦ τὰ τῆς κινήσεως πρὸς ἔφεσιν δείκνυσι, τίς οὐκ ἂν τῶν τοῦ χριστομάρτυρος Δημητρίου ἀγώνων τε καὶ θαυμάτων ὅλως γενήσεται, οὕτω μεγάλων, οὕτως ὑπερφυῶν, οὕτω πᾶσαν ἀγαθυνόντων ψυχήν, οὕτω παρακαλούντων πρὸς εὐωχίαν τὴν κρείττονα; Τοσοῦτον μὲν γὰρ χαριέστατα, τοσοῦτον θεῖα καὶ πρὸς τὰ κρείττονα μετεωρίζονται τὸν ἀκούοντα, ὅσον ὁ μάρτυς μυρίαν τὴν λόγχην ἢ τῶν αὐτῷ συναθλητῶν δέδεκτο φάλαγξ ἢ θεοσύλλεκτος· ἄλλως τε, ἐπεὶ λόγος ἅπας ἐπὶ τοῦτο καὶ ἅπαν μυστήριον,
φ. 74 τὸ πρὸ πάντων καὶ διὰ πάντων | λόγων, τρόπων, βίων, πράξεων, ἀγώνων, εὐποιϊῶν πρὸς ἁγιασμὸν ὁρᾶν τὴν ψυχὴν καὶ πρὸς τοῦτο κινεῖσθαι καὶ ὁρμᾶν ὡς εἰς τελικώτατον αἴτιον, ἀμετατρεπτὶ καὶ ὅλῃ ροπῇ, ποῦ ἄν τις τῶν μαρτυρικῶν ἀγώνων, ποῦ δὲ τῶν θαυμάτων γενόμενος καὶ ὅλος τοῦ πράγματος γεγονώς, μὴ καθαρθείη μὲν αἴσθησιν, λαμπρυνθείη δὲ νοῦν, αὐγασθείη δὲ τὴν διάνοιαν, ἁγιασθείη δὲ καὶ ψυχήν, καὶ μάρτυς ἐθελοντὴς τῷ τῆς μαρτυρίας ἔρωτι καὶ αὐτοπροαίρετος χρηματίσειεν, ἄτρωτος στεφανίτης καὶ ἀθλοφόρος ἀναίμακτος; Ἀλλ' ἐπεγέγραπτο πάλαι μέν, σχολῇ τῇ τοῦ Πλάτωνος «μηδεὶς εἰσίτω ἀγεωμέτρητος», οἷόν τι τοῦ τῆς ἱερᾶς ἐπιστήμης ἐκείνου νεῶ ἱερὸν προτεμένισμα· καὶ νῦν δέ, τῇ ἐπιχειρήσει γραφῆς ἀγώνων καὶ θαυμάτων τοῦ Μάρτυρος, «μηδεὶς εἰσίτω μὴ καθαρὸς» ἐπιγέγραπται· προπαράγγελμα τοῦτο μαρτυρικὸν καὶ προαναφώνημα. Διὰ τοῦτο καὶ φόβος εὔλογος ὑποθράττει καὶ τοῦ ἐγχειρήματος ἀνακόπτει με, ὡς χερσὶν ἀνάγνοις καὶ ἀκαθάρτοις χείλεσι τὰ θεῖα προσψαύοντα καὶ ἐκδιηγούμενον, μή ποτε πάθοιμι καὶ αὐτὸς ὁποῖα δὴ καὶ οἱ τὰ πυρεῖα τοῦ πάλαι νόμου οὐχ ἁγνῶς μεταχειρισάμενοι· ὅτι δὲ τῆς προφητείας κἀγὼ ἀκούειν δοκῶ, πρὸς τῆς μαρτυρικῆς λαβίδος καθαρτικὸν τοῦ λόγου ψωμιζόμενος ἄνθρακα, «ἰδοὺ ἥψατο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ», ἑτοίμως διὰ τοῦτο ἔχω καὶ ταχινῶς· καὶ «ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με» τῷ μεγάλῳ ἀνταποκρίνομαι καὶ τῇ ὁδῷ τῶν θαυμάτων σου πορεύσομαι καὶ πανηγυρίσω σου τὰ τεράστια.

---

25. *καθαρῶς* χ)φον.

2. Πανηγυριστέον τοίνυν, ὦ περὶ τὸν Μάρτυρα θεία παρεμβολὴ καὶ χριστώνυμον χοροστάσιον, καὶ τὰ τοῦ ἡμῶν Πολιούχου ἑορταστέον θεῖα τεράστια· καὶ θεριστέον μὲν τῆς ἀθλητικῆς παλαίστρας μετ᾽ εὐφροσύνης τὰ δράγματα, ἃ μετὰ δακρύων ὁ Μάρτυς, πορευόμενος ὁδὸν τὴν τοῦ μαρτυρίου, τῷ σπόρῳ τῆς εἰς Χριστὸν κατεβάλετο πίστεως. Συλλεκτέον δὲ καὶ τῶν θαυμάτων καρπούς, οὓς ὁ μαρτυρικὸς σπόρος εἰς ἑκατὸν ἐγεώργησεν, ὡς ἐντεῦθεν πλησθησόμεθα ἐν τοῖς τοῦ | μάρτυρος ἀγαθοῖς καὶ τὰς τῆς ψυχῆς ἀποθήκας καρπῶν πληρώσαιμεν τῶν πνευματικῶν· τάχα γὰρ ὡς καὶ μικρὸν ἀποξέσαιμι ἢ παρῳδήσαιμι ἐκεῖνο τὸ Γραφικόν, ὁ μὲν ἄλλος, εἴποιμι, τῶν μαρτύρων ἐν χιλίασι θεῖος χορός, μόνος δ᾽ ἐν μυρίασι θαυμάτων Δημήτριος ὁ καλλίνικος. Ἀλλ᾽ ἐπεὶ παρεσκεύασθε πᾶς καὶ πρὸς ἀκρόασιν ἡτοίμασθε ἕκαστος, «ἐξεγέρθητι ἡ δόξα μου» Δαυϊτικῶς εἰπεῖν, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα τὰ τῆς ἐμῆς στενομύθου μούσης καὶ γλώττης ἐνεργήματα καὶ λογικὰ κιθαρῳδήματα καὶ κινήματα καὶ ἐν λαοῖς παρρησιάσατε τῷ μυροβλήτῃ τὰ θαύματα καὶ ἐν μέσῳ ἐκκλησίας τῷ ἡμῶν πολιούχῳ κροτήσατε τὰ τεράστια· ἐμβάλλει γάρ μοι κατὰ Δαυΐδ τῷ στόματι ἆσμα καινὸν καὶ κατὰ τὸν Ἰεζεκιὴλ κεφαλίδας ὅλας σιτίζει με, ὑφ᾽ ὧν δυνάμεως πληρωθήσομαι, καὶ δραμοῦμαι τῷ λόγῳ τὰ τῶν θαυμάτων τοῦ μάρτυρος, καὶ σκηνοβατήσω τὰ ὑπὲρ φύσιν τούτου τεράστια· πάντως γὰρ τῇ δοθείσῃ δυνάμει παρὰ τοῦ μάρτυρος καὶ τὰ τοὺς ἐν μηχαναῖς εἰπεῖν δεξιούς, τὸ προτεθὲν τοῦ λόγου βάρος κινήσομαι· εἰ μὴ γὰρ οὕτω, πῶς ἂν καὶ τὸ προκείμενον τοῦ λόγου τηλίκον μεταχειρισάμεθα μέγεθος;

φ.74ᵛ

φ.75

Ἐτύγχανον μὲν γὰρ καὶ πάλαι σφαδάζων, Μυροῤῥόα Δημήτριε, περὶ τὰς διηγήσεις τῶν τεραστίων σου· ἀλλ᾽ ὡς ἔοικεν, ἀπεταμιεύετό μοι τὸ τῆς λογικῆς νάρδου ἀλάβαστρον εἰς τὴν ἡμέραν σοι τοῦ ἐνταφιασμοῦ, καθ᾽ ἣν δηλαδὴ τὸ μαρτυρικόν σου τέλος πανηγυρίζομεν. Εἰ δέ τις εὐλαβοῖτο μὲν πρὸς διήγησιν τοῖς τηλίκοις τοῦ μάρτυρος θαύμασιν, ἐνσεμνύοιτο δὲ τῇ σιγῇ τὸ πλέον τούτων ἢ τῇ φωνῇ, ἀλλ᾽ αὐτός γε μήποτε οὕτω σεμνὸς γενοίμην, ὥσθ᾽ ὑπεριδεῖν τὰς θαυματουργίας τῆς μαρτυρικῆς καὶ πάντα ἐμοὶ σεβαστῆς κορυφῆς· ὡς γὰρ τὰ τῷ πυρὶ τῶν σωμάτων ἢ τοῖς πολυτελεστέροις τῶν μύρων καὶ εὐώδεσι πλησιάσαντα, τῆς ἐκεῖθεν ὀδμῆς καὶ θέρμης μετείληχεν, οὕτω δὴ καὶ αὐτοὶ τὴν θαυματουργικὴν πληθὺν τοῦ μάρτυρος διερχόμενοι, πᾶσαν μὲν ἐκεῖθεν, εὖ οἶδα, τῇ ψυχῇ τὴν εὐωδίαν ἀπομορφόμεθα, πᾶσαν δὲ τὴν δυσῳδίαν ἐντεῦθεν ἀποτριψόμεθα καὶ περιστερὰ χρισθεῖσα μύρῳ καθαπερεὶ τῆς μαρτυρικῷ τῇ τῆς κρείττονος εὐωδίας ὄσφρᾳ, ὑψωθησόμεθα πρὸς τὰ κρείττονα· ἄλλως τε, | οὐδ᾽ εἰς τοσοῦτον ἡμεῖς περὶ τὴν μαρτυρικὴν ἀμνήμονες κορυφήν, καὶ ὡς οὕτω φάναι, νεκροὶ μυριζόμενοι τῇ τῆς ἀχαρίστου γνώμης περιουσίᾳ καὶ ταῦτα ποταμοῖς τοσούτοις μύρων καὶ θαυμάτων καθεκάστην περικλυζόμενοι, ὡς ἐν δευτέρῳ θέσθαι, οἷς καὶ ἀγγέλων χορεία πανηγυρίζουσιν. Ἄλλοι μὲν οὖν προφθάσαντες τὰ πρὸς λόγους ὑψηλοὶ καὶ

μετέωροι καὶ πρὸς ἐγκωμιαστικὴν τὴν δύναμιν ὑπερούσιοι τὸν μαρτυρικὸν ἀμπελῶνα, παρ᾽ οὗ τῶν θαυμάτων ἡμῖν ὁ βότρυς καθ᾽ ἑκάστην καταρτίζεται, ἴσα σκαλίδι τῇ μουσοφορήτῳ γλώσσῃ καὶ διανοίᾳ ἐφυτηκόμησαν, παράσχῃ δὲ καὶ ἡμῖν τοῦ ἀμπελῶνος τοῦδε πάντως ὁ Κύριος τὸ δηνάριον ἐργασίας τῆς λογικῆς, κἂν περὶ τὴν ἑνδεκάτην ὥραν, τὸ ὀψὲ δὲ τοῦ καιροῦ πρὸς τοῦργον ηὐτομολήσαμεν, κἂν πολλοστοὶ τῶν πρώην εἰς ἐργασίαν τὴν λογικήν, καὶ τὸ ὅλον εἰπεῖν « πεζοὶ παρὰ λύδιον »· εἰ δὲ πενιχροὶ ἡμεῖς πρὸς καρυκείαν τῆς τραπέζης τῶν θαυμάτων τοῦ μάρτυρος, ἀλλ᾽ ἔχει τοῖς πολυτελέσι τῶν βρωμάτων μηδὲ πλακοῦς εὐτελὴς ἀτιμάζεσθαι· πάντως δὲ ἐκ τῆς ἡμῶν πενεστάτης τοῦ λόγου ἀρτοποιΐας ἐγκρυφίαν τῷ Μεγάλῳ ζυμοπλαστήσαντες, ἀφθονίαν τῆς λογικῆς ὑδρίας καὶ τὸ τοῦ καμψάκη ὑπερχειλὲς ὑπερεκπερισσοῦ μεθ᾽ ὅσης τῆς χάριτος ἀντιλάβοιμεν.

Ἀλλὰ γὰρ τῶν προοιμίων μὲν ἅλις· ἐπιτροχαστέον δὲ τοὺς μαρτυρικοὺς ἀγῶνας τοῦ μάρτυρος, ὡς καθ᾽ ὁδὸν ὁ λόγος τὴν τῶν θαυμάτων ἀταρπὸν διοδεύσειε καὶ καθ᾽ εἱρμὸν ὡς ἑξὸν βηματήσειεν, ὡς ἂν δὲ μηδὲ τῆς ἐγκωμιαστικῆς τῷ μάρτυρι τοῦ λόγου ἀπολειφθείημεν τάξεως.

3. Θεσσαλονίκη, πόλις δὲ αὕτη περιφανὴς καὶ λαμπρά, καὶ Μακεδόνων μὲν κορυφή, Θετταλίας δὲ πάσης ὑπεριδρυμένη θ᾽ ὑπερέχουσα, οἷς τε παντοδαπαῖς ὀλβίζεται χάρισι καὶ οἷς εἴδεσι καλῶν ἁπάντων ἐναγλαΐζεται. Αὕτη πρὸς τὴν κάτω γέννησιν τῷ μάρτυρι πατρὶς καὶ γεννήτρια· ἐν ταύτῃ δή, τὰς ὠδίνας λύσας τὰς μητρικάς, γεννηθείς τε καὶ αὐξηθείς, εἶθ᾽ οὕτω καὶ ἀναγεννηθεὶς τὴν θείαν καὶ ἄχραντον γέννησιν τοῦ θείου λουτροῦ καὶ τῇ τοῦ σώματος ἅμα καὶ πνεύματος αὐξήσας ἡλικίᾳ καὶ χάριτι, ἣν μὲν στρατηγετῶν
φ.75ᵛ καὶ ὑπατεύων στρατευμάτων | τοῖς τάγμασιν, οὐδ᾽ ἀνδραγαθιζόμενος κατὰ τῶν ὁρωμένων ἐχθρῶν, τῶν ἄλλων εἶχε τὰ δεύτερα, ἀλλὰ γὰρ ἀνδρείως τὰς μάχας κατὰ τῶν ἐναντίων διατιθέμενος, ἀνδρικώτερον κατὰ τῆς πλάνης ἐπορεύετό τε καὶ ἐπλατύνετο· χαριέστατος τὴν μορφήν, τὴν ψυχὴν χαριέστερος· ἔργον ὡς ὄντως τῶν Θεοῦ δακτύλων ἐπάξιον· ἡδὺς τὸ φθέγμα, τὸν τρόπον ἡδύτερος· γλυκὺς τὸν λόγον, τὸ ἦθος γλυκύτερος· πολλὴν μὲν ὑποφαίνων τοῦ ἔνδοθεν ἀνθρώπου τὴν ὡραιότητα, ὡς διὰ παραπετάσματος οἷον τῆς διαρτίας τοῦ σώματος τοῖς ἔξω γεγανυμένην προκύπτουσαν, πολλὴν δ᾽ ὅτι μάλα τὴν τοῦ δημιουργοῦ Θεοῦ παριστάνων δημιουργικὴν τῆς πρώτης εἰκόνος ἐντέλειαν· διδακτικὸς τῶν τοῦ Χριστοῦ, διδασκαλικὸς τῶν τῆς χάριτος· τὸ ἀπόφθεγμα τῆς γλώττης, ὡς ὑετὸν, καὶ ὡς δρόσον φέρων τὰ ῥήματα· τὰ γὰρ τῆς ἔξω τῶν λόγων παιδεύσεως τοῖς ἐκ τῶν ἔνδον ἦν ἐξευγενίζων καὶ θαυμασίως κατακιρνῶν· ἄσπιλος τὴν ψυχήν· παρθενικαῖς ταῖς χάρεσιν ἐναγλαϊζόμενος. τοῦ κρείττονος ἐπάξιον οἰκητήριον, ναὸς τοῦ Ὑψίστου ἡγιασμένος καὶ πρὸ γενέσεως· τὸν οἶκτον πολύς, τὸν ἔλεον ἐλαία ἄντικρυς ψαλμική.

Ἀλλ᾽ ἵνα μὴ διὰ κύκλου ἐκδιηγώμεθα τὰ τοῦ μάρτυρος, ὡς διδάσκει μὲν εἰς θεοσέβειαν τὸν λαόν, ὡς, ἐπικλήσει Χριστοῦ, μεγάλα τῶν θαυμάτων

τελοίη, ὡς διαμηνυθείη τῷ τυράννῳ, ὡς ἀπαχθείη βήματος ἐνώπιον τοῦ τυραννικοῦ, ὡς τρανῷ τῷ στόματι ὁμολογήσειε τὴν εὐσέβειαν, ὡς παρρησιάσαιτο τὸν Χριστόν, ὡς διὰ τοῦτον ἔμφρουρος γένοιτο, ὡς ἐκεῖσε τὸν Νέστορα σφραγίσῃ καὶ καρδίαν καὶ μέτωπον καὶ προσημάνῃ καὶ τὸν Λυαῖον νικήσειε καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσειεν, ὡς τὸν ὑφερπύσαντα τῇ φρουρᾷ σκορπίον καὶ πρὸς τρῶσιν τῷ ἰοβόλῳ κέντρῳ αὐτῷ ἐπιστρατευσάμενον, μόνῳ τύπῳ σταυροῦ κρυσταλλώσειε καὶ ἄψυχον ἀπεργάσαιτο, ὡς καταπταίη ἄγγελος αὐτῷ οὐρανόθεν εἰπών: «εἰρήνη σοι τοῦ Χριστοῦ ἀθλητά, ἀνδρίζου καὶ ἴσχυε», ὡς ὁ Νέστωρ τῷ Λυαίῳ μονομαχήσειε καὶ νικήσειεν, ὡς κατατομηθείη ὑπὲρ Χριστοῦ, ὡς ἐντεῦθεν τυραννικῇ τῇ μανίᾳ φάλαγξ ὅλη κινηθείη λογχοφόρος ἐπὶ τῷ στρατάρχῃ τῆς μαρτυρικῆς τοῦ Θεοῦ | παρατάξεως, κηφῆνας ἄν τις φ. 76 φαίη κεκεντρωμένας τῆς γλυκείας τοῦ Χριστοῦ μελίσσης εἰς ἀναίρεσιν σπεύδοντας, ὡς τὴν πλευρὰν αὐτοῦ τοῖς ἔγχεσι διορύξειε. Ταῦτα δὴ ταῦτα παραδράμωμεν, εἰ δοκεῖ, τοῖς ἅπασιν, ὡς ἀνάγραπτα· τίς γὰρ οὐκ οἶδε τά τε ἄλλα καὶ τὴν τοῦ μεγάλου Δημητρίου μαρτυρίαν καλλίνικον, δι᾽ ἧς φάλαγγας ὅλας δαιμόνων ἠδάφισεν; Ἔκειτο μὲν γὰρ κατὰ γῆν ὁ μάρτυς λόγχαις δημίων τὰ τῆς τρώσεως φέρων ὁλόσωμα· ἔκειτο λύθρους αἱμάτων μαρτυρικῶν πορφύρα τις φοινικοβαφὴς καθαπερεί, τῷ Χριστῷ φοινισσόμενος, ὅλος διάτρωτος, ὅλος ὠτειλῶν μυρίων ἀνάμεστος· ἐτέτρωτό οἱ τὰ στέρνα· ἐτέτρωτο τὰ τοῦ θώρακος· ἡ πλευρά, σκεῦος ἐῴκει μυριοπόνον· τὰ τῆς γαστρὸς μυριοστόμους πηγὰς αἱμάτων ὑπήνοιγε· δέδεκτο καὶ χεῖρες τὸ μανιῶδες ἐκεῖνο καὶ δήμιον λογχοφόρημα. Οὕτω δι᾽ ἑκάστου μέλους καὶ μέρους ὁ μάρτυς ἐν ἑαυτῷ μαρτυρικῶς τὸν Θεὸν ἐμεγάλυνεν· οὕτω τὰ στίγματα τοῦ Χριστοῦ τῇ σαρκὶ κατὰ Παῦλον τὸν μέγαν ἐβάστασεν· οὕτως ἠγώνισται· οὕτως ἐδόξασε τὸν ποιήσαντα. Ἀλλ᾽ ἐντεῦθεν ὁρᾶτέ μοι καὶ τὸν ἀντιδοξάσαντα τοῦτον Θεὸν θαύμασιν ἐξαισίοις καὶ τέρασι τοσούτοις τὸν μάρτυρα δεξιούμενον· εἰ γὰρ ψυχροῦ ποτηρίου ὕδατος ἀλλάσσεσθαι ὅλους παραδείσους, ὅλας Ἐδὲμ μεμαθήκαμεν, πόσον τὰ τῆς ἀνταπολαύσεως, ὅπουπερ ὅλα μαρτυρικῶν αἱμάτων ὑπὲρ Χριστοῦ ἐκκέχυται ρεύματα; ὅπου κρουνοὶ τῶν λύθρων τῆς σωματικῆς διαρτίας τοῦ μάρτυρος ἀπερρύησαν; πορευόμενος γὰρ ἐπορεύετο ὁ μέγας οὗτος τὴν τοῦ μαρτυρίου ὁδόν, αἵματα σπείρων τῆς οἰκείας σαρκὸς ὑπὲρ τῆς εἰς Θεὸν πίστεως τιθεὶς τὴν ψυχήν, ὡς ἐνταῦθα μὲν μυρία μύρα θερίσειεν, ἐκεῖθεν δὲ πολυπληθῆ τὰ θαύματα ὡσεὶ δράγματα δρέψαιτο.

Α΄. 4. Βούλει γενέσθαι πᾶς τις πιστὸς τῶν λειμώνων ἔνδον θαυμάτων τοῦ χριστομάρτυρος καὶ δρέψασθαι καρπόν, ὃν γεωργεῖ τοῦ Πνεύματος τὰ χαρίσματα; ἢ βούλεσθε πᾶς· καὶ δεῦρο πάντες, πληθὺς ἱερὰ καὶ θεόλεκτος, καὶ παγκαρπίαν ἐκ συνηρεφῶν παραδείσων τῶν Δημητριακῶν τεράτων, καρπίσασθε, καὶ τῷ καλῷ φυτηκόμῳ Χριστῷ τὴν δόξαν ἐπαναπέμψατε. Ἀλλ᾽ ὡς παραδράμοιμεν καὶ τὰ τοῦ ἐλευθερογνώμονος Λούπου | ὅπως τε τὴν χλα- φ. 76᾽

μύδα βεβαμμένην λύθρῳ τῶν Δημητριακῶν αἱμάτων λάβοι καὶ ζώνην καὶ τὸν ὃν τῷ δακτύλῳ ὁ μάρτυς ἐφόρει δακτύλιον, δι' ὃν ἰάσεις ἐπετέλει πολλάς, ἐξ οὗ καὶ τῷ τυράννῳ μηνύεται καὶ κεφαλὴν ἀποτέμνεται ἐν τῇ Τριβουναλίῳ τῆς πόλεως καὶ τὸν τοῦ μαρτυρίου καὶ οὗτος δέχεται στέφανον. Προκείσθω ὑμῖν εἰ δοκεῖ πρὸς ἑστίασιν, ὅσα δὴ καὶ πρωτοδρεπὴς καρπός, ἡ πρὸς τὸν Λεόντιον (ὕπαρχος δ' οὗτος ἦν, τῇ Συγκλήτῳ φέρων τὸ κράτιστον καὶ Ἰλλυριῶν ὁ ἐπισημότατος) θαυματουργία καὶ ἰάσιμος τοῦ μάρτυρος δύναμις. Ἀλλὰ γάρ, ὡς ἂν ὁ λόγος βαδίσειε καθ' εἱρμὸν καὶ κατὰ τάξιν χωρήσειε, διατριψάτω μικρόν τι περὶ τὴν τῶν Δημητριακῶν λειψάνων εὕρεσιν, ὅπως εἰς φῶς ἐκ τῶν τῆς γῆς νερτέρων ὁ τοσοῦτος γέγονε θησαυρός.

Ἦν μὲν τὸ ἱερώτατον ἐκεῖνο σῶμα τοῦ μάρτυρος περὶ τὰς τοῦ λουτροῦ στοάς, ὅπου δῆτα καὶ τὸ μαρτυρικόν, ἔμφρουρος ὤν, διήνυσε στάδιον, κείμενον κατὰ γῆς, τοῖς εὐσεβέσι κρυπτόμενον, τοῖς χριστωνύμοις κατορυττόμενον, ὡς μὴ δοθείη τὸ ἅγιον τοῖς κυσί, μηδὲ τοῖς χοίροις ὁ πολύτιμος μαργαρίτης. Ἦν οὕτω, μέχρις ὅτου ὁ κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ μαρτύρων κλύδων λωφήσειε καὶ ὁ κατὰ τῆς εὐσεβείας κατασιγήσειε τάραχος· ἐκέκρυπτο μὲν ὁ μαρτυρικὸς κατὰ γῆν θησαυρός, ὁ λύχνος οὐκ ἀφυῶς ὑπὸ τὸν μόδιον, εἴποι τις· ὁ πολύτιμος ὑπὸ τὸ ἔλυτρον μάργαρος, ἡ τῷ θεῷ ἐξυφασμένη μαρτυρικὴ πορφύρα ὑπὸ τὸ ὄστρακον· ἡ σελήνη ὑπὸ τὴν νύκτα· ὑπὸ τὸ νέφος ὁ τῆς ἐκκλησίας λαμπρόφωτος ἥλιος· οὐ διέλειπε δὲ δοξάζειν θεός, τὸν τοῖς οἰκείοις αὐτὸν δοξάσαντα αἵμασι καὶ τοῖς μέλεσι μεγαλύναντα· ἀλλ' αὐτοῦ που κάτωθεν κρουνηδὸν ἀνέρρει τὰ θαύματα καὶ πηγὴ καθάπερ τὸ τῆς Χριστοῦ Ἐκκλησίας πρόσωπον ἤρδευεν. ᾔρετο γοῦν ἡ τῶν θαυμάτων φήμη πολλὴ καὶ πάντων τοῖς ὠσὶ περιέτρεχε καὶ ἐλάλει τῷ μάρτυρι τὰ τεράστια καὶ ἐδίδασκε τῷ καλλινίκῳ τὰ θαύματα.

5. Γίγνεται γοῦν περὶ τὴν τῶν Θεσσαλονικέων, ἣν ὁ λόγος φθάσας ἐγνώρισεν, Ὕπαρχος, τῇ κατὰ Δάκας μὲν πορείᾳ ἐρχόμενός οἱ σκοπὸς ἦν τούτῳ γενέσθαι ἐπὶ καταστάσει τυρβασμάτων τινῶν κοσμικῶν, τῇ αἰφνηδὸν δὲ καταστρατευσάσῃ τοῦτον νόσῳ, καθαπερεὶ ὁδοστατηθείς, γίγνεται· καὶ εἰς ὦτα φ. 77 παρευθὺ φωνῆς | ἀκούει τῶν μαρτυρικῶν τεραστίων, ὡς φωνῆς θεοῦ Σαδδαῖ κατανύσσεται τὴν καρδίαν, ἐπιβατεύει τῷ τοῦ μαρτυρικοῦ σώματος χώματι, ὅσον τὸν ἱκετήριον ἐπαγόμενος. Καὶ τίς ἀκουστὰς τὰς αἰνέσεις Κυρίου ποιήσει, δι' ὧν τοὺς αὐτοῦ θεράποντας ἐμεγάλυνε; θᾶττον ἢ λόγος, ὡς ἐκ παραδείσου τῆς σοροῦ τοῦ μάκαρος, τὴν ὑγίειαν ἐκαρπίζετο· οὐδ' ἴχνος νόσου τὸ παράπαν φέρων τῷ σώματι, ἀλλ' ἀρτιμελὴς πρὸς ὑγίειαν, ἀλλ' αὐτοποδητὶ βαδίζων, ἀλλὰ δημοσιεύων τὸ θαῦμα τῷ ὀξεῖ τῆς κινήσεως· καὶ ἦν ἰδεῖν τὴν μὲν νόσον τάχιον δραπετεύουσαν, αἰδουμένην ἢ δεδιῶσαν ὥσπερ τὸν μάρτυρα, τὸν Ὕπαρχον δὲ ὡς ἀετὸν ἀνακαινιζόμενον. Οὕτως οὗτος τοῦ λυποῦντος ἀπαλλαγείς, οὐχ ὑπερτίθεται τὸν εὐχαριστήριον, οὐ πρὸς τὸν εὐεργέτην τὴν ἀντίδοσιν ἀναβάλλεται, οὐδὲ μιμεῖται τοὺς ἐν Εὐαγγελίοις καθα-

ρισθέντας ἐννέα προστάγματι τῷ Δεσποτικῷ δόξαν οὐχ ὑποτρέψαντας τῷ Θεῷ· ἀλλ' ὡς εἶχε τάχους, ῥίπτει μὲν κατὰ γῆς τὰς κατησβολωμένας ἐκεῖθεν πάσας στοὰς τοῦ λουτροῦ, τέμενος δὲ λαμπρὸν ἐγείρει τῷ μάρτυρι, εἰς μέγεθος ἀξιόχρεων, εἰς κάλλος ἀσύγκριτον, εἰς φαιδρότητα παραδείσου ἄντικρυς θεοφύτευτον, μέσον τὸν μαρτυρικὸν θησαυρὸν πλουτοῦντα, ὡσεὶ καὶ ξύλον ἄλλο ζωῆς.

Ἐπεὶ τοίνυν φιλοτίμως οὕτω περὶ τὸ μαρτυρικὸν διατίθεται τέμενος, τῆς προκειμένης αὐτῷ περὶ τῆς Δακῶν πορείας ἐφάπτεται καί τι τῶν μαρτυρικῶν λειψάνων μεθ' ἑαυτοῦ συλλαβέσθαι ὑπολογίζεται, ἀνακόπτεται τοῦ βουλήματος, νύκτωρ ἐπιφανέντος καὶ μὴ ἐῶντος τοῦ μάρτυρος, γνωσιμαχεῖ πρὸς τὴν ὄψιν, ἑτέραν ὁδὸν ἐξανάγκης ὑπέρχεται καί γε τὴν μαρτυρικὴν χλαμύδα, ἣ λέγεται κυκλομάνδυον, σὺν αὐτῇ τῇ ζώνῃ παραλαβών, ὁδοῦ ἔχεται· χλαμύδα ἐκείνην, ἣν αἱματοφόρυκτον τῶν μαρτυρικῶν αἱμάτων ἡ μυρία λόγχη ὑπέδειξε, δι' ἧς καὶ ἰάσεις ἐτέλει πολλάς, ὁ καλὸς οἰκέτης Λοῦπος τῷ μάρτυρι, καὶ δι' ἣν ἀνατρέχει καὶ οὗτος πρὸς οὐρανοὺς μαρτυρικῷ στεφάνῳ κατακοσμούμενος. Ὡς οὖν τὴν τοῦ | μάρτυρος ἱερὰν χλαμύδα λάβοι ὁ Ὕπαρχος φ. 77ᵛ συνοδοιπόρον ὁμοῦ καὶ συνέριθον, ἣν φαιδρῷ τῷ προσώπῳ τὴν πρὸς τοὺς Δάκας εὐθυπορῶν, φθάνει τὰ τῆς ὁδοιπορίας τὸν Ἴστρον· ποταμὸς δὲ οὗτος κυματίας τε καὶ ναυσίπορος· ὁ δὲ τῷ τοῦ ἀέρος ψύχει κεκρυστάλλωτο ἅπας καὶ πρὸς λίθου ἀντιτυπίαν μετεστοιχείωτο· εἶτα δὴ καὶ βιαίῳ τῷ πνεύματι ὅλος καταθραυόμενος, πάγους καταφερόμενος ἦν, ἴσα καὶ δρῶν κορυφαῖς. Τί τὸ ἐν τούτοις; ὁ μὲν ἠπείγετο πρὸς περαίωσιν, ὁ ποταμὸς δὲ ἄρα ἐθυμομάχει οἷον καὶ ἠγριαίνετο, πολὺν ὅτι μάλα τὸν ἀφρὸν ἀποπτύων, δεῖγμα τῆς ἐν αὐτῷ τοῦ πνεύματος βιαίας ὁρμῆς καὶ κινήσεως· καὶ ταχεῖαν μὲν ἠπείλει τὴν καταπόντισιν, σφοδρὰν δὲ ἄγαν τὴν καταβρόχθισιν. Ἡμέραι παρῆλθον οὐχὶ συχναὶ καὶ ὁ ποταμὸς τῷ Ὑπάρχῳ πρὸς περαίωσιν οὐκ ἐσπένδετο· ἐπικαλεῖται τὴν τοῦ μάρτυρος ἐπικουρίαν ὁ Ὕπαρχος· φαίνεται κατ' ὄναρ καὶ τὸ κιβώτιον, ἐν ᾧ ἡ τούτου χλαμύς τε καὶ ζώνη ἐντεθησαύριστο, κατὰ τοῦ ρεύματος ἀφεῖναι διεκελεύετο. Ἐντίθησι τοῦτο τῷ ποταμῷ καὶ παραυτίκα, τοῦ θαύματος, ὁ ποταμὸς ἐνδίδωσι τῆς ὁρμῆς, αἰδεσθεὶς ὥσπερ τὴν μαρτυρικὴν χλαμύδα, καθὰ δὴ καὶ τοῦ τοῦ Ναυῆ Ἰησοῦ μετὰ τῆς κιβωτοῦ ὁ καλὸς Ἰορδάνης τὸ πρίν, καὶ περαιοῦται ὁ Ὕπαρχος.

Εἶτα δὴ καὶ περὶ τὸ Σίρμιον γεγονώς, ἐκεῖσε ναὸν ἐγείρει τῷ μάρτυρι καὶ τὴν ἱερὰν μαρτυρικὴν χλαμύδα τούτῳ ἐντίθησι, θαῦμα τοῦτο τῆς Δημητριακῆς χλαμύδος, τῆς τοῦ Ἠλιοὺ μηλωτῆς, δι' ἧς Ἐλισαιὲ τὸ τοῦ Ἰορδάνου ρεῖθρον ἐπέζευσεν, ἰσοστάσιόν τε καὶ ἰσοδύναμον· ἐπεὶ καὶ χαρισμία ἐνταῦθα, κἀκεῖ θαυματουργοῦσα καὶ τοὺς οἰκείους θεράποντας μεγαλύνουσα.

Ἀλλὰ γὰρ ὁ λόγος τῷ τῶν θαυμάτων ἤδη πελάγει παραβαλὼν καὶ ἀδιεξίτητον τὴν ἐντεῦθεν τῶν ἄνωθεν χαρισμάτων τῷ μάρτυρι βλέπων δαψίλειαν, ἰλιγγιᾷ τῆς ὁρμῆς καὶ τῆς πρόσω φορᾶς ἀνακόπτεται· ἄβυσσον γὰρ βλέπει

φ. 78 θαυμάτων ἐπικαλουμένην ἀβύσσους τῶν | τεραστίων τοῦ χριστομάρτυρος καὶ πέλαγος ἀπεριόριστον μυρίους κόλπους ἀπερρειγόμενον.

Β'. 6. Αὐτίκα τὰ περὶ Μαρινιανόν· ἔπαρχος δὲ καὶ οὗτος ἦν τῶν Ἰλλυριῶν· ποίαν οὐχ ὑπερβαίνει τῷ θαύματι τὴν διήγησιν; τίνα δὲ πρὸς εὐφημίαν οὐκ ἐπαίρει τοῦ ἀθλητοῦ, τῆς τηλίκης τερατουργίας τῷ ὑπερβάλλοντι; Ἦν μὲν γὰρ ὁ ἀνήρ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἠθικῆς ἁπάσης ἀρετῆς ἐργαστήριον, κρᾶμα πασῶν χαρίτων, αἷς φύσις καὶ ἦθος καὶ λόγος πρὸς τὰ κρείττω μεταρμόζεται καὶ μεταβιβάζεται· ζυγὸς δικαιοσύνης ἰσόρροπος· ἀνδρεῖος κατὰ παθῶν καὶ τῇ φρονήσει ἀκεραιότατος· πολὺν ὅτι μάλα τὸν ἁγιασμὸν διώκων ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος, κἂν μέσῳ θορύβων μονότροπος συγγινόμενος τῷ Θεῷ. Ἀλλὰ γὰρ αἰτεῖ καὶ τοῦτον ὁ πάλαι καὶ τὸν Ἰὼβ ⟨δοκιμάσας⟩· κἀντεῦθεν δοκιμὴ καὶ πάλη τῷ Μαρινιανῷ καὶ βάσανος τῶν αὐτοῦ ἀρετῶν καὶ κρείττων ἀπόδειξις. Παίει καὶ τόνδε νόσῳ δεινῇ· καὶ ἡ νόσος, πάρεσις ὁλομελὴς καὶ τῆς σωματικῆς ἁπάσης διαρτίας παράλυσις· πονηρᾶς γὰρ ὕλης αὐτῷ συνερρύησαν ρεύματα καὶ ὅλον τὸν τῆς σαρκὸς ἀνδριάντα τῷ χαλεπῷ τοῦ πάθους κατέσυραν.

Ὡς γοῦν ἀκινητίζων οὕτως ἐτύγχανε καὶ μηδενὶ ἑτέρῳ ἢ τῷ βραχεῖ τοῦ ἄσθματος τὸν ζῶντα ὑποδηλῶν, πᾶσαν μετεκαλεῖτο θεραπείας ὁδόν. Καὶ Γαλήνιον μὲν φαρμακείαν ἀνεψηλάφα, Ἱπποκράτειον δὲ θεραπείαν ἐζήτει καὶ ἀσκληπιαδῶν ἐπολυπραγμόνει πᾶσαν τὴν πρὸς ὑγίειαν εὕρεσιν· οὔκουν καὶ ταῦτα τῆς ἄνωθεν ἐλπίδος καὶ βοηθείας ἐκτός· ἀλλ' ἐκεῖθεν τὸ τῆς σωτηρίας ἅπαν εὐσεβῶς ἀνάπτων πρυμνήσιον ἦν καὶ τὴν ἐξ ὕψους ἐπικουρίαν δεχόμενος.

Ἐπεὶ τοίνυν ἰατρείας πάσης ὁ ὁς τῷ σφοδρῷ τῆς νόσου ἐξαπεκλείετο, ἦν ἐπιλελησμένος ἤδη ἐκ καρδίας, ὥσεὶ νεκρὸς καὶ πολλοστὸν τοῦ βίου ἐπαγόμενος λείψανον. Τί τὸ ἐντεῦθεν; Πρόσεισι τῶν παίδων, ὡς ἐδόκει αὐτῷ ὁ εὐνούστατος καί, «ὦ δέσποτα», φησί, «Τί μοι τὸ ζῆν, σοῦ μοι τῆς κεφαλῆς μετὰ τῶν καταβαινόντων εἰς λάκκον λογιζομένως ἰδού; τοίνυν καὶ χώραν πᾶ-
φ.78' σαν καὶ ἔθνος περιδραμών, εὗρον μόλις τὸ | τῆς σωτηρίας σοι φάρμακον». Εἶπε, καὶ δέρμα τι ἐξενεγκών· «ὁρᾷς», ἔφη, «τοῦτο ἐπίθες σου τῷ τραχήλῳ καὶ ταχὺ τὰ τῆς ὑγείας σοι ἕψεται». Καὶ τὸν εἰπεῖν, «πόθεν τῷ δέρματι τούτῳ;» (μεμβράνη δὲ ἦν, τὸ τοιαύτην ἔχειν τὴν δύναμιν, ὡς μικροῦ καὶ ὀστᾶ πρὸς ὀστᾶ συνάγειν εἰς ἁρμονίαν καὶ σφίγγειν οὕτω ταχὺ τῶν μελῶν τὴν διέχειαν) «ὅτιπερ, ἔφη, ὁ παῖς, ὀνόματα θεῶν καὶ κύκλων περιγραφαὶ καὶ ἡμικύκλια καὶ σχημάτων χαρακτῆρες παντοδαπῶν καὶ εἰδώλων τύποι ὑπερφυεῖς τῇ μεμβράνῃ κεχάρακται». Τὸ δὲ ἦν ἑλληνικῆς κακοδαιμονίας μυστήριον. Ἀλλὰ τὰ μὲν τῆς ἑλληνικῆς τερθρείας καὶ μαγικῆς τερατοσκοπείας ἐρίοις ἐστέφθησαν καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας πόρρω ἐκδιωκέσθησαν. Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἐκ μέρους δὲ τὸ τούτων ἀπατηλὸν εἰς ἔλεγχον τοῦ ψεύδους αὐτῶν, εἰ δοκεῖ, προσθήσομεν καὶ τῆς ματαιότητος.

Ληροῦσιν Ἑλλήνων λόγοι, εἴδωλά τινα εἶναι τῷ περιέχοντι, παντοίοις ἰνδαλματιζόμενα εἴδεσιν, ἃ δὴ καὶ Δημόκριτος ἐδόξασεν, ὁ τῆς ἑλληνικῆς συμμορίας φιλόσοφος καὶ σχημάτων τύπους καινοτάτους ὑπό τινος κινήσεως ἀΰλως ἐγχαραττομένους καὶ διατυπουμένους, ὧν εἰκόνά οἱ τῆς τερασκόπου καὶ μαγικῆς τέχνης εἰς ἐξαπάτην καὶ φενακισμὸν ἐν χάρταις ἔφερον, δαιμόνων ἐπικλήσεσι τὰ δοκοῦντα φαντασιούμενοι· φασὶ γάρ, ὅσον μὲν ἔξω τῆς ὑπὸ γένεσιν τῆςδε διακοσμήσεως τέτακται, ἀπαθές ἐστι καὶ ἀμείλικτον, ὅσον δὲ τῇ γενέσει βλέπει καὶ σχετικῶς ἔχει πρὸς τὰ τῆς ὕλης, παθητικόν ἐστι καὶ θελγόμενον· ἐκεῖ μὲν νοῦς, ἐνταῦθα δὲ φύσις· καὶ ὁ μὲν ἀκινήτως πρὸς τὰ κρείττω κεκίνηται, ἡ δὲ κινεῖται ἄλλοτε ἄλλην κίνησιν πλημμελῆ, παχυνομένη πως καὶ ταῖς συνεχέσι μεταβολαῖς, τύπους ἄλλοτε ἄλλους ἰνδαλματουργοῦσα καὶ σχήματα, καὶ τούτων τῇ ποιᾷ συνδρομῇ συνδιατίθεται τὰ ἡμέτερα. Ταύτῃ τοι καὶ μεμβράναις τισὶν ὡς ἐν πίναξιν οἱ τῶν ἑλληνικῶν μυστηρίων ὀργιασταὶ τὰ περὶ τούτου παρενεχάραττον, ὡς εἶναι ταυτὶ τοῖς πολλοῖς κεκαλυμμένα καὶ ἀκατάληπτα.

Τοιοῦτον ὁ παῖς δεικνύει δέρμα τῷ Μαρινιανῷ, λέγει, τὰ τῆς τούτου δυνάμεως εἶδεν ἐκεῖνος· ἤκουσε καὶ παρευθύ, | ἦν γὰρ τὰ ἐς ψυχὴν ὑγιέστατος, εἰ καὶ τὰ τοῦ σώματος λέλυτο, «Ἵνα τί, φησίν, ὦ κακόδαιμον σύ, ἐς τοσοῦτον κατάγεις με τῆς ἀπωλείας βυθὸν καὶ παρωθεῖς εἰς ἀπώλειαν, οἷς συμβουλεύει ὀφ·καῖς ἢ σατανικαῖς τὸ ὅλον εἰπεῖν συμβουλαῖς; φθαρήτω μοι τὰ τοῦ σώματος· οἰχέσθω, λελύσθω, ὡς οὐ δέξομαι ἰατρείαν, ψυχὴν ἐς Ἅδου καταβιβάζουσαν». Εἶπε ταῦτα καὶ ὁ παῖς αἰδεσθεὶς καὶ φόβῳ κατασχεθεὶς ἐσίγησε πάραυτα, κλεισάμενος τὸ βιβλίον τῆς λαλιᾶς. φ. 79

7. Ὡς οὖν οὕτω θεαρέστως τὰ περὶ τούτου πέπρακται τῷ Μαρινιανῷ, ὄναρ ὁ μάρτυς ἐφίσταται καὶ τῆς εἰς Θεὸν τηλίκης προθέσεως ἀποδέχεται καὶ μακαρίζει τῆς πίστεως καὶ πρὸς τὸν αὐτοῦ οἶκον ἐπισκήπτει γενέσθαι καὶ τυχεῖν τῆς ἐφέσεως. Ἐδόκει τοίνυν τῷ Μαρινιανῷ Δημήτριόν τινα τὸν λαλοῦντα βλέπειν, βασιλικοῖς ἀξιώμασι διαλάμποντα, νέον ἅμα καὶ χαριέστατον, ἀφύπνιστο παρευθύ· τρέπεται πάλιν εἰς ὕπνον· πάλιν ἐφίσταται ὁ φανείς, ἅπτεται τῶν παραλελυμένων τούτου μελῶν· «ἐν ὀνόματι, λέγων, Ἰησοῦ Χριστοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, τὰ τῆς ὑγιείας ἀπόλαβε»· ἀπέπτη παραχρῆμα τῶν βλεφάρων ὁ ὕπνος αὐτοῦ· ᾤχετο παραυτίκα, καὶ τὰ τῆς ὁλομελοῦς ἐκείνης παρέσεως. Ὁ δὲ καὶ εἰσέτι ὀνειρώττειν ἐδόκει, τῷ παραδόξῳ τοῦ πράγματος· καὶ εἰς ὕπνον τὴν ὑγίειαν ὑπενόει φαντάζεσθαι, οἷα τῆς ψυχῆς ἀναπλαττούσης τῷ ταύτης φανταστικῷ καὶ ζωγραφούσης νύκτωρ τὰ καταθύμια. Ἐπεὶ δὲ ἀκριβέστερον ὅσον ἑαυτὸν ρωννύμενον ὑπεγίγνωσκε καὶ τὴν ὁλομέλειαν κούφως ἔχοντα μάλα καὶ στερεῶς καὶ ὕπαρ, οὐκ ὄναρ τὴν θαυματουργίαν ἑώρα τοῦ μάρτυρος, ὡς εἶχε τάχους ἀνέθορε τῆς στρωμνῆς καὶ τοῖς ἅλμασι πᾶσιν ἐδημοσίευε τὸ τεράστιον· οὐ γάρ τοι παρὰ μέρος τὴν ὑγείαν

ἐλάμβανε καὶ τὸ πλέον τῆς νόσου ἀποτετίνακτο, ὡς καὶ εἰσέτι τῆς καχεξίας
ἴχνη τινὰ περισώζεσθαι, ἀλλ' εἰς βάθος τὴν ὑγείαν εἶχε σκηνοβατοῦσαν καὶ
φ.79ᵛ τῇ τοῦ σώματος ὁλομελείᾳ κούφως χορεύουσαν. | Ὡς γοῦν βαδίζειν εἶχεν
οὕτως ἐρρωμενέστατα, γίνεται παρευθὺ τῇ ἱερᾷ τοῦ μάρτυρος λάρνακι,
5 πολὺν μὲν ἐκ καρδίας χέων τὸν ἱκετήριον, οὐκ ὀλίγον δὲ τὸν τῶν δακρύων
ροῦν, ὡς ἐκ δικρούνου πηγῆς τῶν ὀφθαλμῶν προχεόμενος, τὸν ῥύστην ἐπι-
βοώμενος, τῷ ἰατρῷ δαψιλευόμενος τὴν ἀνθομολόγησιν. Τί τὸ ἐπὶ τούτοις;
σκεύεσι πολυτίμοις ἀντιδεξιοῦται τὸν μάρτυρα καὶ χρυσὸς ὁμοῦ τε καὶ ἄργυ-
ρος ηὐτρέπιζεν ὅτι πλεῖστα τὰ ἀναθήματα.

10 *Γ'*. 8. Ἀλλὰ γὰρ τὰ τοῦ νεωκόρου, Ὀνησιφόρος ὄνομα τῷ ἀνδρί,
ποίαν οὐκ ἐκπλήττει ψυχὴν τῷ ἐξαισίῳ τοῦ πράγματος; Πεπίστευτο τὴν πάν-
τιμον οὗτος τοῦ μάρτυρος λάρνακα καὶ μελεδωνὸς μὲν τοῦ μαρτυρικοῦ παρα-
δείσου κεχειροτόνητο, οἰκουρὸς δὲ καὶ φύλαξ ὅσα καὶ σιμβλοκόμος τοῦ ἀθλο-
φορικοῦ σίμβλου ἐντέτακται, ἐφ' ᾧ δῆτα ἡ γλυκεῖα τοῦ Χριστοῦ τεθαλά-
15 μευτο μέλισσα. Ἀλλὰ γὰρ τῇ μὲν ἐκηροπλαστεῖτο καθεκάστην τῇ τῶν θαυμά-
των πτήσει κηρὸς κατὰ πολλὴν τὴν δαψίλειαν, ὡς ἐξ ἀνθέων τῶν εὐσεβῶν,
τῷ δὲ κηφῆνος δίκην ἐκλοποφορεῖτο τὰ εἰσαγόμενα. Ἦν οὖν ἐντεῦθεν ὁ
Ὀνησιφόρος τῇ κλήσει κατ' οὐδὲν τῆς ἐς τόδε πράξει, τὰ τῶν ἔργων φέρων
ἁρμόδια· ἐλιχνεύετο γὰρ περὶ τοὺς κηροὺς ὁσημέραι καὶ τούτους ἐσύλα καὶ
20 σφετεριζόμενος οὐκ ἐπαύετο. Φαίνεται νύκτωρ ὁ μάρτυς αὐτῷ, κατασείει ταῖς
ἀπειλαῖς, τῆς κηροσυλίας εἴπερ οὐ παύσεται. Τῆς κλοπῆς ὁ νεωκόρος ἀφί-
σταται οὔμενον· πάλιν ὄψις μαρτυρικὴ καὶ πάλιν ἀπειλὴ νυκτερινὴ τῆς πρώ-
της ἰταμωτέρα, τὴν τῶν κηρῶν κλοπὴν ἀνακόπτουσα. Οὐκ ἔληγεν οὐδ' οὕτω
τὰ τῆς κλοπῆς. Τί τὸ ἐντεῦθεν; Ἄνδρες ποθὲν εὐσεβεῖς κηροὺς εὐμεγέθεις
25 ἐπῆγον τῷ μάρτυρι· ὁ δὲ νεωκόρος, ἦν γὰρ περὶ τοὺς κηροὺς χασματίας καὶ
ἄπληστος, εὐθὺς ἀφῄρει τούτους ἄνω τῆς λάρνακος· καὶ ὁ μὲν εἶχεν ἔτι ταῖς
χερσὶ τοὺς κηρούς, ὁ μάρτυς δὲ τῆς λάρνακος ἔνδον φωνὴν βροντώδη μεθ'
ὅσου τοῦ τόνου ἀφίησιν· ἡ δὲ φωνή, «πάλιν τοιαῦτα Ὀνησιφόρε, πάλιν;»
φ. 80 Ἀνατετίνακτο παρευθὺ πρὸς ἀέρα ὁ νεωκόρος τῇ | ροίζῳ τοῦ βροντώδους
30 ἐκείνου τῆς μαρτυρικῆς φωνῆς ἀπηχήματος καὶ πρὸς γῆν μὲν αὖθις πεπτώκει,
ἄφωνος δὲ μεμενήκει, ἐμβρόντητος ὅλως ἐφ' ἱκαναῖς ταῖς ὥραις γενόμενος.

Ὡς οὖν κατὰ βραχὺ τῆς θαυμασίας μαρτυρικῆς ἐκείνης βομβήσεως
ὅσον ἑαυτὸν ἀνελάμβανε, τότε δή, τότε τοῦ ἁμαρτήματος ἐπῃσθάνετο καὶ τῆς
κλοπίας ἢ ἱεροσυλίας ἑαυτοῦ κατεγίνωσκεν· ἐξηγόρευε τοίνυν παρευθὺς τὴν
35 ἁμαρτίαν τῷ μάρτυρι καὶ συγγνώμης ἐξελιπάρει τυχεῖν. Μέντοι, καὶ ἠτύχει
τῆς αἰτήσεως οὐδαμῶς· ἀνέθορε γὰρ παρευθὺ ταχεῖαν, ὅτι γνοὺς τὴν μαρτυ-
ρικὴν συγγνώμην, τῷ τάχει τῆς εἰς γαλήνην ἐκ ταράχου τοῦ ἔνδοθεν κατα-
στάσεως· καὶ μονονοὺ τοῦ μάρτυρος ἀκούειν ἐδόκει ἐκεῖνο τὸ θέσφατον αὐτῷ
ὑπαδόμενον: «ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε».

Ἔλθωμεν, εἰ δοκεῖ, καὶ πρὸς ἄλλην μαρτυρικὴν θαυματοποιΐαν καὶ πρὸς ἑτέραν αὖθις καὶ πάλιν ἐπ᾽ ἄλλην, κἀκεῖθεν ἐφ᾽ ἑτέραν, καὶ περαιτέρω βαδίσωμεν τῆς ἐς τόδε τῶν θαυματουργιῶν ἀταρποῦ, τοῦ μάρτυρος ἡμῶν προτρέχοντός τε καὶ ἑτοιμάζοντος. Ἀλλὰ ποῦ μοι καὶ γλῶσσα πυριμενής, ὁποίας οἶδεν ὑετίζειν ἄνωθεν τοῖς ἀξίοις ἡ τοῦ Πνεύματος δύναμις; ποῦ δέ μοι πλάτος σοφίας καὶ γνώσεως τὰ τοῦ Σολομῶντος ἐξαίρετα, ὡς εἰς ἐξήγησιν πλατυνθείην, ὡς χαλκευθείην καὶ στομωθείην εἰς ἱστορίαν τῶν θαυμάτων τοῦ Χριστομάρτυρος, ὡς εὔζωνος καθαπερεὶ ἀετὸς τὰ ἐκ περάτων εἰς πέρατα σημεῖα τούτου καὶ τέρατα τῇ πτήσει τοῦ λόγου κηρύξω καὶ διηγήσομαι;

Δ΄. 9. Αὐτίκα μετακαλεῖται ἡμᾶς τὰ περὶ Ἰουστινιανὸν τὸν μέγαν αὐτοκράτορα. Οὗτος ἀφύλακτον ἄλλως ἔχειν τὸ τῆς βασιλείας σκῆπτρον ὑπελογίζετο, εἰ μήπου τι τῶν Δημητριακῶν λειψάνων συστρατηγοῦν αὐτῷ, μᾶλλον δὲ προμαχοῦν ἐπιφέροιτο. Γράμματα τοίνυν αὐτοῦ καὶ προθέματα ἡ Θεσσαλονικέων εἶχεν εἰς ἐπήκοον μέρος που τῆς μαρτυρικῆς διαρτίας τοῦ σώματος ἐξαιτούμενα. Γνωσιμαχοῦσιν ἡ πόλις πᾶσα καὶ τῷ πράγματι δυσχεραίνουσι· κάμπτονται δ᾽ ὅμως τῇ αἰτήσει τοῦ Αὐτοκράτορος, ὡς ἐκ πίστεως ἐληλυθυῖα εἰλικρινοῦς. | Καὶ δὴ παρῆσαν μὲν οἱ τὴν ὀρυγὴν ἐκ πλαγίου τῆς φ.80ᵛ μαρτυρικῆς σοροῦ σκευασόμενοι· ἄλλως γάρ, πῶς τῇ τοσαύτῃ τῶν μύρων πλημμύρᾳ ὁ μαρτυρικὸς θησαυρὸς ἀνηρεύνητο· τοῦ πράγματος δὲ ὅλαις εἴχοντο ταῖς χερσί· δάκτυλόν που τυχὸν ἢ βραχίονα ἢ ἄλλο τι μέρος τῆς μαρτυρικῆς ὁλομελείας μεθ᾽ ὅσου τοῦ τάχους ἁρπαλέως τεμαχισόμενοι, ὡς μὴ φθάσῃ τούτους κατακλῦσαι ἡ τῶν μύρων ἐκεῖθεν τοῦ μάρτυρος ἐκπιδύουσα ἄβυσσος. Τί τὸ ἐπὶ τούτοις; ὁ χοῦς σεσάλευτο ἄνωθεν, τῆς γῆς ἐπεξέσθη τὸ πρόσωπον, ὡς εἰς ἕνα πῆχυν ἤδη προέβαινε τὰ τῆς ὀρυγῆς καὶ πῦρ εὐθέως κάτωθεν, ὡς ἐκ τῆς τοῦ μάρτυρος λάρνακος τοῖς τολμητίαις ἐπανερρήγνυτο καὶ τὴν ἐπαινετὴν ἐκείνην ἱεροσυλίαν, ὡς τῷ μάρτυρι παντάπασιν ἀπόστοργον ἀπεκρούετο· καὶ φωνὴ ἐκεῖθεν, μὴ περαιτέρω χωρεῖν αὐτοῖς ἐξηκούετο, ἀναξιοπαθοῦντος τάχα τοῦ μάρτυρος, εἰ κολοβωθείη τι τῶν τοῦ σώματος, στρατιώτης καθαπερεὶ νῶτα τῷ ἀντιμάχῳ στρεψάμενος, εἰ μὴ χερσὶν ἀμφοτέραις, εἰ μὴ ποσίν, εἰ μὴ ὅλῳ τῷ σώματι τῆς οἰκείας προαγωνίζοιτο πόλεως.

Ε΄. 10. Τὰ αὐτὰ καὶ Μαυρικίῳ χρόνῳ ὕστερον δέδοκτο. Ἄναξ οὗτος Ρωμαίοις, χάρισι πολλαῖς ἐναγλαϊζόμενος καὶ τὰς ἔξωθεν ταῖς ἔνδοθεν ἰσοφθογγούσας τοῖς κατ᾽ ἀμφοῖν διαφόροις ἀνδραγαθήμασι, εἰ καὶ πρὸς βραχὺ καὶ τοῦδε τὰ τῆς τύχης παρακέκλησται νήματα καὶ πρὸς ὀλίγον ὁ μῶμος κατεχασμήσατο, ὁποῖα δὴ τῇ τῶν πραγμάτων ἀστάτῳ φορᾷ τοῖς ἀνθρωπίνοις ἐπισυμβέβηκε. Καὶ οὗτος μέρος τι τῶν Δημητριακῶν λειψάνων ἐξαιτησάμενος λαβέσθαι εἰς φύλαγμα, ἐπείπερ μάθοι ὅσα τοῖς προρρηθεῖσι τυμ-

βωρύχοις ἀπήντησε καὶ ὡς ἀβούλητον τὸ παράπαν τῷ μάρτυρι τὸν μαρτυρικὸν ἀνδριάντα κολοβωθῆναι καὶ μέχρις ὄνυχος καὶ τριχὸς τοῦ μὲν ἐγχειρήματος πέπαυται, κόνιν δὲ λαβόμενος ἐκ τοῦ προγεγονότος τῷ μαρτυρικῷ τάφῳ ὀρύγματος, πιστεύσας, ὡς τῇ ἐγγύτητι μόνῃ τῆς ἐκεῖθεν καὶ αὕτη οὐκ ἀμοιρεῖ
5 χάριτος καὶ ὡς διὰ τῆς κόνεως ταύτης ἔχει ὡσεὶ χνοῦν τοὺς ἐχθροὺς λεπτύνειν κατὰ πρόσωπον ἀνέμου καὶ ἐκλικμᾶν, ἔστη τοῦ ἐγχειρήματος.

Ὅσα μὲν οὖν ἄλλα τετερατούργηται τῷ μάρτυρι θαύματα, ὅπως τὸν
φ. 81 στρατηλάτην | ἐκεῖνον τοῦ ροῦ τῆς αἱμορροΐας, τῆς ἰαματοφόρου καὶ μόνον μαρτυρικῆς ἁψάμενος λάρνακος· ὅπως τοὺς ἀκαθάρτους στροβουμένους τοῖς
10 πνεύμασι τοῦ λυποῦντος μεθ᾽ ὅσου παρευθὺ τοῦ τοίχους ἀπήλλαξεν· ὡς τοῦ λοιμοῦ καὶ λιμοῦ τὴν οἰκείαν πόλιν παρανάλωμα κινδυνεύουσαν ἤδη γενέσθαι ἐρρύσατο, τὸν μὲν δι᾽ ἐπιστασίας νυκτερινῆς ἐμβριμησάμενος ὥσπερ δραπετεύσαντα, τὸν δὲ δι᾽ ἐπιστασίας αὖθις ἀποτρεψάμενος, ὅναρ φανεὶς ἐμπόρῳ τινὶ Στεφάνῳ, τὴν εὐθὺ Βυζαντίδος ἐκπλέοντι καὶ τὴν εἰς Θεσσαλονίκην ἐν-
15 σκήψας τούτῳ καὶ ἀγαγὼν ἐκεῖσε τὴν σιτοφόρον ὁλκάδα καὶ ἐλλιμενίσας καὶ θρέψας πεινῶντα τὸν οἰκεῖον λαόν, ὃ δὴ καὶ τῆς σιτοδείας Ἰωσὴφ ὑπερβαλλόντως θαυμασιώτερον, ταῦτα δὴ ταῦτα σιγῇ τὸ πλέον τιμήσωμεν, ἐξατονοῦντα τὸν λόγον τῇ διηγήσει τῶν καθ᾽ ἕκαστον φέροντες. Εἰ μὴ γὰρ ἡμᾶς τὸ τῶν θαυμάτων πλῆθος κατέσπευδεν, εὔχομεν ἂν καὶ ἐπιποιήτῳ κάλλει τὸν
20 λόγον κατακοσμεῖν καὶ σχήμασιν ἐξαπλοῦν καὶ οἰκονομίαις μεγεθύνειν καὶ τῶν ἰδεῶν ἐξαλλαγαῖς ἅμα καὶ κράσεσι πρὸς τὸ ἡδύτερον μεταβιβάζειν καὶ εὔρυθμον. Ἐπεὶ δὲ ἡ δύναμις τῶν θαυμάτων καὶ τὸ πλῆθος ἐκ περιουσίας ὑπερνικᾷ, ἐπιτροχαστέον ἁπλοϊκῶς τοῦ Μεγάλου τὰ θαύματα. Παραδράμωμεν, εἰ δοκεῖ, καὶ τὸ περὶ τὸν ἀφραίνοντα ἐκεῖνον Ὕπαρχον τῆς Ἰλλυριῶν
25 τοῦ μάρτυρος τερατούργημα, συμπαίστορα τὸν Μέγαν ἡ μιαρὰ καὶ βέβηλος ἐκείνη ψυχὴ τοῖς Θεσσαλονικεῦσιν εἶναι κατεφλυάρησε, λόγον ἐρευξάμενος πολὺ τὸ δύσοσμον ἀποπνέοντα. Καὶ τί ἄλλο, ἢ τῆς τελματώδους καὶ βορβορώδους αὐτοῦ ψυχῆς ἄξιον, κερβέρου λυσσητῆρος ἐξέραμα, ἄντικρυς Ἅδου πόαν φυτοκομοῦν, ἐφ᾽ ᾧ καὶ κατὰ πόδας αὐτῷ ἡ τοῦ μάρτυρος ἀγανάκτησις;
30 ἡμιπληξία γὰρ ὁ δείλαιος ἐφ᾽ ὅλον ἐνιαυτὸν ἐλεεινῶς προσεπάλαιε, μέχρις ἂν τῆς σφετέρας ἀβελτηρίας γνοίη τοῦ πάθους δημιουργὸν καὶ μεταγνοίη, καὶ τύχῃ πάλιν συμπαθείας τοῦ μάρτυρος.

ΣΤ΄. 11. Ἀλλὰ γὰρ ὁ ἀργύρεος ἐκεῖνος τοῦ μεγάλου θρόνος ἡμᾶς προ-
φ.81΄ τρέπεται πρὸς διήγησιν ἑτέρου θαυματουργήματος· θρόνος ἐκεῖνος εἴτε | πα-
35 τρῷον ὑπάρχων κτῆμα τῷ μάρτυρι, εἴτ᾽ ἀνάθημα τυγχάνων αὐτῷ πρὸς εὐσεβοῦς τινος φιλομάρτυρος. Ἦν οὖν ὁ τοιοῦτος θρόνος ἀργυρήλατος ὅλος, τῷ ἀθλοφορικῷ τεμένει προσανακείμενος· ἐπεὶ δὲ αἱ τοῦ παμφάγου πυρὸς γνάθοι καὶ κατὰ τῆς σεβαστῆς τοῦ μάρτυρος λάρνακος πλατὺ διοινήχθησαν καὶ κρατῆρες ὥσπερ φλογὸς ἁπανταχοῦ τοῦ θείου τάφου προσερρύησαν, φλὸξ

κάτω μὲν λιπαρὰ τῇ ὑποκειμένῃ χρυσαργύρῳ ὕλῃ ἐκαμινεύετο, ἄνω δὲ πρὸς αὐτὴν ὀροφὴν τοῦ περὶ τὴν σορὸν τεμένους κεφαλὴν ἐπεστήριζε, κἀκ τῶν πλαγίων δ᾽ αὖθις ἄνθρακας ὡς ἔκ τινος νευρᾶς τῆς δραστηρίου κινήσεως ἀπετόξευε. Καὶ ἦν ὁ μαρτυρικὸς τοῦ σώματος ἀνδριὰς κυκλόθεν τῇ φλογὶ λιμναζόμενος, παντάρβης λίθος καθαπερεὶ τὴν τοῦ πυρὸς ἐνέργειαν μεταβάλλων εἰς μάρανσιν· ἦν μὲν γὰρ τὸ δραστικὸν τοῦτο στοιχεῖον βαῖνον ἀπρόσκοπα καὶ καταβοσκόμενον ὅσα καὶ χόρτον, τὸν ἔξω κόσμον τοῦ μάρτυρος, οἷα δὴ τῆς ὑλικωτέρας μοίρας τυγχάνοντα. Ἐπεὶ δὲ φθάσοι πρὸς αὐτὴν τοῦ μάρτυρος τὴν ἔνδον εὐπρέπειαν, ἧς τὸ μύρον τεκμήριον, τὴν τροφὴν εὗρον τὸ σύνολον ἀκατάλληλον, ὡς ὑπερκειμένην ἁπάσης ὑλικῆς οἰκονομίας καὶ διαθέσεως, ἔσβεστο παρευθὺ καὶ τῆς ζωτικῆς εἶτ᾽ οὖν φυσικῆς δραστηριότητος καὶ δυνάμεως παραχρῆμα νενέκρωτο. Καὶ ὁ τρόπος, ὡς οὕτω γέγονε τοῦ περιτυμβίου κόσμου τῷ μάρτυρι ἡ πυρπόλησις, θαυμάσιος καὶ οὐκ ἄπο σκοποῦ, τῷ φιλοπόλιδι καὶ προμάχῳ ἡμῶν Χριστομάρτυρι· καὶ δὴ ρητέον μοι τὰ τοῦ πράγματος.

12. Σκλαβῖνοι, ἔθνος τοῦτο παρίστριον καὶ αἱμοχαρές, τῆς λαμπρᾶς ταυτησὶ πύλεως, ἣν γὰρ παντοίοις μὲν ὅτι μάλιστα τοῖς ἀγαθοῖς ἐπιβρίθουσα, κάλλους δὲ εὖ καὶ πλούτου περιττῶς ἔχουσα, ἀκηρυκτεὶ κατεστράτευσαν· ἡ γὰρ μαγνῆτις τῶν εὐθηνουμένων αὐτῇ ἀγαθῶν εἷλκε σίδηρον τὸν βαρβαρικὸν καὶ ὁ τῆς φαιδρότητος ταύτης ἤλεκτρος τὰ ἄχυρα τῶν ἐθνῶν. Καιρὸς τὸν τροχὸν τοῦ χρόνου διέτρεχε, καθ᾽ ὃν εἰώθει τελεῖσθαι ἡ φαιδρὰ τῷ μάρτυρι ἑορτή· οὕτω γὰρ γνώμης εἶχον οἱ βάρβαροι, ὡς ἐπεὶ κατ᾽ αὐτὴν τὴν ἑορτάσιμον τοῦ Μεγάλου | νύκτα τὸ πλῆθος ἅπαν διανυκτερεύει πανηγυρίζον, κατὰ πᾶσαν φ. 82
αὐτοὶ τὴν ἄδειαν ῥαδίως ὅσα καὶ κῦμα τῇ πόλει ἐπιρρήσονται. Ἦν μὲν οὖν ὁ τοῦ μάρτυρος λαὸς περιούσιος, νυκτὸς τὸ πλέον πανηγυρίζοντες. Ὄρθρος ἦν ἤδη βαθὺς καὶ πρὸς νυσταγμὸν ἐκ τῆς νυκτερινῆς ἐκείνης ἢ παννύχου σχεδὸν στάσεως ἐρραστωνευμένως εἶχεν ἡ πόλις, βαθὺν τὸν ὕπνον ἰαύοντες. Καὶ οἱ μὲν οὕτως εἶχον. Ἄρα δὲ καὶ τὸν μάρτυρα ὕπνος ᾕρει τὸ παράπαν καὶ ἀναβεβλημένως ἔχειν ἐδόκει καὶ μαλακῶς; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ βλέπει τοὺς βαρβάρους τοῖς τείχεσι προσιζάνοντας, ἀλλὰ θυμοῦ πληροῦται καὶ μένους εὐθύς, τῷ μὲν εἰς φλόγησιν τὸν τῆς θείας αὐτοῦ λάρνακος κόσμον πάντα παραδιδούς, δεῖγμα τῆς κατὰ τῶν ἐναντίων ἀγανακτήσεως, τῷ δέ, μεθ᾽ ὅσου τοῦ τάχους μόνος φθάνων ἐν ταῖς ἐπάλξεσι· καὶ οἱ μὲν διὰ κλιμάκων τῆς σφοδρᾶς ὁρμῆς ὑπὸ πνεύματος ὥσπερ ἀναφυσώμενοι, ταῖς πυργοβάρεσι τῆς πόλεως ἔβαινον, φόνιον βλέποντες, σφαγὰς ἀποπνέοντες, τῷ δὲ πονεῖν ἐπῄει καὶ κατασφάττειν τὸ βάρβαρον. Καὶ ἦν ἰδεῖν τότε τὸν μάρτυρα τοὺς ὀφθαλμοὺς μακροὺς πλουτοῦσιν ἔργοις τοῖς κρείττοσι, τὸν αὐτὸν τὰ πάντα ὁμοῦ, στρατηγόν, ἡγεμόνα, φαλαγγάρχην, ἀγωνιστήν, πολεμιστὴν δεξιώτατον· περιῄει γὰρ ὀξεῖ τῷ δρόμῳ καὶ ἀκρατεῖ τῶν ἐπάλξεων, τοὺς μὲν τιτρώσκων, τοὺς δὲ ἐμβριμώμενος· καὶ τοὺς μὲν ἀποσφαιρίζων ἄνωθεν καὶ

νεκρῶν, τοὺς δὲ μόνῳ νεύματι κρυσταλλῶν καὶ πρὸς ἀψύχων ὥσπερ φύσιν μεταλλατόμενος. Καὶ οὐδεὶς ἐξαριθμήσειε πλῆθος ἐκεῖνο πτωμάτων, σωρηδὸν ἐπιστοιβαζόμενον καὶ κατὰ τὸ χαριέντως καὶ ἀστείως περί τινος τυράννου τῶν πάλαι ὑπαδόμενον ἐκεῖνο, « ὤζεν ἡ Θεσσαλονίκη τότε τῶν πολεμίων νεκρῶν », ἡ πόλις δὲ ἄρα τοῦ τοσούτου ἀγῶνος ᾐσθάνοντο οὐδαμῶς.

Ὡς γοῦν ὁ θεῖος τάφος τοῦ μάρτυρος, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ἀθρόον ὅτι μάλα πυρὸς ἐξηνθηκότος πολλοῦ κατεπίμπρατο, ἐλάνθανεν οὔμενον τὰ περὶ τούτου τῷ χριστωνύμῳ λαῷ καὶ παμπληθεὶ μὲν τῷ μαρτυρικῷ τεμένει προσέρρεον, ὁ νεωκόρος δὲ ὡς ἂν μὴ τῷ πλήθει διασκεδασθείη ὁ τακεὶς χρυσάργυρος κόσμος τοῦ μάρτυρος, ψεῦδος ὥσπερ πλασάμενος, τὴν φ.82ᵛ ἀλήθειαν | καὶ ἄκων ἐκήρυξε, καὶ « βάρβαροι περὶ τὰ τείχη » τῷ λαῷ ἀνεβόησε, « σώσατε τὴν πατρίδα, τὰ τέκνα, τοὺς οἰκείους, σφᾶς αὐτούς, τῆς τῶν βαρβάρων ἐφόδου σώσατε ». Καὶ ἦν ὁ λόγος τῶνδρὶ οὐ λόγος ἁπλῶς, ἀλλ᾽ ἐπίπνοια εἰπεῖν τὸ ὅλον μαρτυρικὴ καὶ τοῦ ἀληθοῦς οὐ διέπιπτε. Πιστεύει τὸ πλῆθος τῷ λόγῳ, τρέχει τοῖς τείχεσιν· ὁρᾷ στοιβάδας σωμάτων νεκρῶν τῶν βαρβαρικῶν προτειχίους κειμένας· θαῦμα ἰδέσθαι, κατὰ τὸν φάμενον, τὸν ρύστην ἐπιγινώσκουσιν, οὐκ ἀγνοοῦσι τὸν λυτρωτήν. Ἐντεῦθεν σκιρτῶσι, πηδῶσι, βοῶσιν ὑφ᾽ ἡδονῆς, ὑψοῦσι τῷ μάρτυρι τὴν ἀνθομολόγησιν, τῆς τῶν κακῶν ἀπολυτρώσεως μεγαλύνουσι, τῆς ἀπαλλαγῆς τοῦ τοσούτου κινδύνου κροτοῦσι τὸν αἰνετήριον. Τί οὖν; ὁ καὶ ἄκων προφητευσάμενος νεωκόρος ἐκεῖνος, ὃν ὁ λόγος φθάσας ἐδήλωσεν, ἔνθους ὅλος ὑφ᾽ ἡδονῆς, ἐκρότει τὰς χεῖρας, τὸν Θεὸν ἐμεγάλυνεν, ἐπεβοᾶτο τὸν μάρτυρα, ἀνθωμολογεῖτο, τὰ μεγαλεῖα ἐκήρυττεν.

Ζ'. 13. Ἀλλὰ γὰρ ἐπείπερ ἔδει καὶ πάλιν τὴν ἱερὰν τοῦ μάρτυρος λάρνακα, μὴ οὕτως ἐᾶσαι ἀπερικόσμητον, μηδὲ γυμνὴν παριορᾶσθαι τοῦ χρυσαργύρου κάλλους αὐτήν, χρυσογνώμονες τῷ τότε ἀρχιερεῖ παρευθὺ προσκαλοῦνται εἰς τὴν τοῦ ἔργου χρείαν, τὸν κόσμον καὶ πάλιν φιλοτεχνήσοντες τῷ μάρτυρι, ἀλλὰ λείπεται πρὸς τὴν τοῦ κόσμου ἐντέλειαν ἄργυρος· εἰς ἀναπλήρωσιν τοῦ λειπομένου ἀργύρου πρὸς χωνείαν, ὃν ὁ λόγος ἐδήλωσεν, ἀργυρήλατος θρόνος καταψηφίζεται. Τί τὸ ἐπὶ τούτοις; ἀρέσκει τῷ Μεγάλῳ ἡ τοῦ θρόνου χώνευσις; οὔμενον· φαίνεταί τινι τῶν πολιτῶν ἀνακόπτων τὸ περὶ τὸν θρόνον ἐγχείρημα. Μηνύει οὗτος παρευθὺ τὸ φανέν· οὐ δέχεται ὁ ἀρχιερεύς· δισσεύεται τῷ ἀνδρὶ καὶ πάλιν ἡ ὅρασις· πάλιν γνωρίζει ταῦτα τῷ ποιμενάρχῃ· καὶ πάλιν ἐκεῖνος πρὸς τὴν τοῦ ἔργου ἐκπλήρωσιν· αὖθις ὁ μάρτυς τῷ ἀρχιθύτῃ, ἀναξιοπαθῶν ὡσπερεί, καὶ τὴν τοῦ θρόνου χωνείαν ἀπα-

---

4 Πρβλ. τὸ τοῦ Δημοσθένους περὶ τῆς διαδοθείσης φήμης ὅτι τέθνηκε Φίλιππος « ὤζεν ἂν ἡ οἰκουμένη νεκροῦ ».

ρεσκόμενος· καὶ τί δαί; οὐχ ἱκανὸς ἐγὼ πρὸς εὕρεσιν ἀργύρου εἰς τὴν τοῦ περιτυμβίου μοι κόσμου ἐκπλήρωσιν; Πείθεται ὁ ἀρχιερεύς, τὸ πᾶν τῷ Μεγάλῳ προσαναθέμενος.

Ἡμέραι παρῳχήκεσαν οὐ πολλαὶ καί τις ἔμπορος, ἀθρόον φανείς, ἄργυρον ἱκανὸν τῷ ναῷ τοῦ μάρτυρος εἰσκεκόμικεν· ἕτερος αὖθις καὶ μετὰ τοῦτον ἄλλος· καὶ ἄργυρος ἰδοὺ ὑπερεκπερισσοῦ πρὸς ἐντέλειαν τοῦ ἐπιτυμβίου κοσμήματος. | Ἀλλὰ γάρ, ἵνα τὸν λόγον τοῦ θαύματος καὶ αὖθις ἐπα- φ. 83 ναλάβοιμι, τρέπεται μὲν τὸ τῶν Σκλαβίνων ἔθνος κατὰ κράτος τῷ μάρτυρι, λίαν εὐαριθμήτους ἀνασωσάμενον· ὑπολιμπάνεται καὶ ὁ θρόνος ἀκέραιος, περικοσμεῖται καὶ ὁ θεῖος τύμβος αὖθις μεγαλοπρεπέστερον καὶ φαιδρότερον.

Πάλιν οὖν ἔφοδος ἄλλη τῶν βαρβάρων τῆς πρώτης ἰσχυροτέρα, καὶ πάλιν νίκη μαρτυρικὴ πολλῷ κραταιοτέρα καὶ χαριεστέρα τῆς ἔμπροσθεν.

Η΄. 14. Ἐπεὶ γὰρ ὁ τῶν Σκλαβίνων ἄρχων, Χάτζων ὄνομα τούτῳ, ἡττηθείη οὕτως τῷ μάρτυρι, ἥτταν ἀξίαν δυνάμεως τηλικούτου στρατιώτου Θεοῦ, τόπον ἐκ τόπου διέρχεται, κατὰ τὸ ἐν Εὐαγγελίοις ἐκεῖνο πονηρὸν πνεῦμα ζητοῦν τὴν ἐσαῦθις, ἀφ᾽ οὗπερ ἐξελαθείη, μετὰ πλείονος τῆς παρασκευῆς παλινόστησιν. Μετακαλεῖται τοίνυν εἰς ἐπικουρίαν ὅλα σμήνη βαρβάρων, πνεύματα τῆς πονηρίας, ἕτερα φαίη τις καὶ κατὰ τὸν προφήτην εἰπεῖν «συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραὶμ εἰς πολιορκίαν τῆς Ἱερουσαλήμ» καὶ στρατιὰν μὲν παμπληθῆ, δύναμιν δὲ ναυτικὴν τὸ τῆς θαλάσσης πρόσωπον ἅπαν καλύπτουσαν συναθροίζει κατὰ ταύτης τῆς πόλεως, ἐκ μόνης ὄψεως κρυσταλλοῦσαν πολλῷ τῷ περιόντι, τὸ ἀνθιστάμενον καὶ εἰς ἔσχατον ἄγον ἀκινησίας καὶ δειλανδρήσεως, ἀλλ᾽ οὐχὶ καὶ τὸν μέγαν ἐν στρατηγίαις Δημήτριον. Ὡς γὰρ καὶ αὖθις μετὰ βαρείας ἐμπέσοι τῇ τῶν Θεσσαλονικέων πόλει τῆς βαρβαρικῆς ἐκείνης καὶ μυριοσυλλέκτου παμπληθοῦς παρατάξεως, ἠπειρόθεν, θαλασσόθεν, ὡς εἰς κύκλον ταύτην διαδραμών, κλείεται μὲν ἡ πόλις, ὡς ἐν ἡμέρᾳ δὲ σφαγῆς, αἰπολίων δίκην, τὸ ἅπαν πλῆθος ἐτύγχανεν ἔμφρουρον, ἔξωθεν ἠλάλαζεν ὅτι μάλα τὸ ἐνυάλιον, σάλπιγξ ἤχει μέγα πολεμιστήριος, θυμὸς τοῖς βαρβάροις πρὸς μάχην ἀνεφυσᾶτο τε καὶ ἀνεθερμαίνετο, κτύπος ἁρμάτων, «ὡς φωνὴ ὑδάτων πολλῶν», ἤστραπτε τοῖς ξίφεσιν, ἅπαν πεδίον τὸ πρὸ τῆς πόλεως καὶ τὸν φόνον ἀντηύγει πολὺν ταῖς τῶν ὁρώντων ψυχαῖς. Ἔξωθεν ταῦτα· ἔσωθεν φόβος ὅτι πολὺς καὶ τῆς ἐμφύτου τῶν πολιτῶν δυνάμεως τελεία κρυστάλλωσις· ἐπήγνυτο γὰρ τὸ ψυχικὸν τοῦ πνεύματος ὅρμημα ταῖς πυκναῖς χαλαζοβολίαις τῶν ἔξωθεν. Ὡς γοῦν ὁ πολέμιος οὕτως ἄνερ | ράγη σφοδρῶς, ἔστησαν μὲν οἱ τῆς πόλεως, ἀλλὰ πρὸς φ.83' βραχύ· ἑώρων δ᾽ οὐδὲν ἄλλο, ὅτι μὴ δρασμὸν τῷ σφοδρῷ τῆς μάχης προσβολῆς ἐκ πρώτης ἐξαποκναίσαντες· ἕκαστος γὰρ τῷ φανταστικῷ τῆς ψυχῆς εἰδωλοπλάστει, πῶς τοῖς ἔγκασι ξίφος τὸ βαρβαρικὸν ἐπωθούμενον.

Τί τὸ ἐντεῦθεν; ἀμηχανοῦσιν ἡ πόλις, ἀποροῦσι, τὴν ζωὴν ἀπολέγονται, ῥίπτουσι κατὰ γῆν τὰ ξίφη, τὰς ἀσπίδας, τοὺς θώρακας, μόνην ἐπικουρίαν, μόνον θωρακισμὸν τὸν μέγαν μετακαλοῦνται Δημήτριον. Καὶ ἦν οὐδὲν ἄλλο τῇ πόλει τότε, μεθ' ὅσης τῆς πρὸς τὸν Μέγαν ἱκεσίας τὸ ὑπῳδόμενον ἢ τὸ « οὐκ ἐπὶ τὸ τόξον μου ἐλπιῶ· καὶ ἡ ρομφαία μου, οὐ σώσει με »· ἀλλὰ σὺ μόνος καταφυγὴ καὶ δύναμις ἡμῶν, μαρτύρων ἀκρότης, ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς. Κάμπτεται τῇ τοῦ λαοῦ ταπεινώσει ὁ Μέγας οὗτος στρατάρχης, ἐξεγείρεται πρὸς ἀντίληψιν καὶ βοήθειαν, ὡς ὑπνῶν καὶ κεκραπαληκώς, καὶ τὸ τάχος ἀκαριέστατον καὶ ἡ βοήθεια ὡς ταχεῖα, ὡς χαριεστάτη, ὡς δεξιὰ Κυρίου ἁρμόδιος, ἄνωθεν τῶν ἐπάλξεων ὁ μάρτυς περιῄει ξιφήρης. Ἑώρων τοῦτον τότε ὀφθαλμοὶ τῷ πνεύματι τηλαυγεῖς, τῶν κλιμάκων ὑπεραλλόμενον, τῶν πύργων ταῖς κορυφαῖς ἐφαλλόμενον, τῶν βαρβάρων τοὺς ἀνεβαίνοντας ἐκκυλίοντα, τοῖς τῶν πλοίων ἱστοῖς ἐπιβαίνοντα, βυθίζοντα ταῦτα, ποντοῦντα, αὔτανδρα τοῖς ὕδασι παραπέμποντα· ἔπιπτον ὡσεὶ δράγματα ἐν καιρῷ θερισμοῦ, τῆς μαρτυρικῆς πετομένης δρεπάνης εἰς τὴν τῆς οἰκείας κληρονομίας ἐκδίκησιν χιλιάδες ἐξ εὐωνύμων, μυριάδες ἐκ δεξιῶν. Βλέπουσιν ἡ πόλις τὴν θαυμαστὴν ἐκείνην ἐπικουρίαν τοῦ μάρτυρος, ἀναθαρσοῦσιν, ἠβάσκουσι τὴν πρὸς τοὺς ἐναντίους ὁρμὴν καὶ οἱ ἀσθενοῦντες τότε κατὰ τὸ γεγραμμένον « περιζώνυνται δύναμιν »· αἱ πύλαι τῇ πόλει ἀνα-
20 πετάννυνται καὶ εἷς μὲν καὶ αὖθις, τὸ τῆς θείας φάναι Γραφῆς, χιλίους ἐδίωκε, δύο δὲ μυριάδας ὅλας μετεκίνουν στρατηγετοῦντος τοῦ μάρτυρος. Κτείνεται γοῦν τὸ βάρβαρον ἅπαν σχεδὸν καὶ ὡς νεφέλη πρωϊνὴ διαλέλυνται καὶ ὡς χνοῦς ἀποφυσάμενος ἀπὸ ἅλωνος ζωγρεῖται ὁ ἄρχων τούτου καὶ δέσμιος τῇ πόλει εἰσάγεται καὶ οὐκ ἄπο προσδοκίας αὐτοῦ καὶ ἐφέσεως,
25 ἣν βεβαίαν κατὰ νοῦν ἐπλούτει, εἰ καὶ τὸν τρόπον εἰς τοὐναντίον αὐτῷ τὰ τῆς προσδοκίας μετέρριψεν. Ἐπεὶ γὰρ κατὰ Θεσσαλονικέων μάχη τούτῳ κρα-
φ. 84 ταιὰ | ἐσκευάζετο, πρόσεισι τῷ χρησμῷ καὶ μαντεύεται μὲν ὡς ἐδόκει τὰ καταθύμια, παρυποκρούεται δὲ πρὸς τοῦ Λοξίου, ἀπατηθεὶς λοξίᾳ τῇ τοῦ μαντεύματος· ἐθεσπιῳδεῖτο γὰρ αὐτῷ ἡ πρὸς τὴν πόλιν εἴσοδος πομπική, τοῦ
30 τρόπου τῆς εἰσόδου θαυμασίως συσκευαζομένου τῷ γνόφῳ τοῦ χρησμῳδήματος. Ὡς γὰρ τὸ βάρβαρον ἐκεῖνο πλῆθος τῷ μάρτυρι οὕτω καταδεδάμασται, ζωγρεῖται καὶ ὁ βαρβαροκράτωρ ἐκεῖνος, ὡς ὁ λόγος ὑπέγραψε, καὶ πρὸς τὴν πόλιν εἰσάγεται ἐν χειροπέδαις καὶ δέσμιος· καὶ ὁ τὸ πρότερον χασματίας ἄντικρυς θὴρ καὶ τὸ θράσος καὶ τὴν ἀγριότητα ἀνυπόστατος, λα-
35 γωὸς περίφοβος ἦν, καὶ πέτραν ἐζήτει καταφυγήν, καὶ ὅλος ἦν τετρεμμένων, ὀξύτερον ἀκάνθης τὴν τρίχα φέρων ἀνορθιάζουσαν, ὑστριχὺς ὡς ἄλλη τις ἰνδική, εἰσάγεται παίγνιον γυναιξὶν ὁμοῦ καὶ παισίν, ὁ τοσοῦτος τὴν ὀφρὺν καὶ καυχώμενος εἰς τὰ ἄμετρα· παίγνιον ὡς ἐλεεινόν, ὡς δυστυχές τε καὶ ἄθλιον, κατεκονδύλιζον τοῦ βαρβάρου τὴν κεφαλήν, ἔβαλλον λίθοις, ἤρασσον
40 ξύλοις μέχρις ἂν κυνηδὸν ὁ τάλας τὴν ψυχὴν ὀδυνηρῶς ἐξεφύσησε. Καὶ ἦν

οὐκ ἀπανθρώπου γνώμης τῷ χριστωνύμῳ λαῷ τοῦ βαρβάρου ὁ ὄλεθρος, ζῆλος δὲ μᾶλλον, ὑφ' οὗ πρὸς μῖσος τὸ κατ' ἐκείνου δίκαιον ἀνεφλέγετο, ἀσεβῶς ὀνειδίζοντος λαὸν Θεοῦ ἱερὸν καὶ τῆς τοῦ μάρτυρος κατακαυχωμένου δυνάμεως. Οὕτω Φινεές, οὕτω Σαμουήλ, οὕτω Δαυΐδ, οὕτως Ἠλίας, ὁ τὸν ζῆλον πολύς· ὁ μὲν τὸν Ἰσραηλίτην συμπερονᾷ τῇ Μαδιανίδι, ὁ δὲ τὸν ἀλλόφυλον Γολιάθ, ὁ δὲ τὸν Ἀγάγ, ὁ δὲ τῆς αἰσχύνης τοὺς ἱερεῖς, αὐτοχειρὶ θανάτῳ παρέπεμψαν καὶ τοῦ ἔργου ἐμακαρίσθησαν.

Ὁρᾶτε θαυμάτων ἄβυσσον τῶν μαρτυρικῶν οὐρανοῦ μέχρι φθάνουσαν· ὁρᾶτε φέγγος ἀστραπῆς τῶν τοῦ μεγάλου σημείων περιτρεχούσης ἅπασαν τὴν ὑφήλιον; ἀκούετε σάλπιγμα τῶν ἀθλοφορικῶν τεράτων ἐκ περάτων ἐξηχουμένην εἰς πέρατα; οἶδεν ἰνδὸς καὶ πέρσης, ὁ πρὸς ἀνίσχοντα ἥλιον, ἢ μᾶλλον εἰπεῖν Γάγγου ποταμοῦ καὶ Ἡμωδῶν ὀρέων ὅση περίοικος· οἶδε Κελτίβηρ, ὁ πρὸς αὐτὰ τὰ ἑσπέρια, ὁ πρὸς βορρᾶν ταυροσκύθης καὶ πρὸς νότον μαυρούσιος καὶ τὸν τερατουργὸν Δημήτριον τὸν μέγαν εἶναι πεπίστευκε καὶ θαυμάζει τὰ τέρατα, εἰ καὶ πόρρω τῶν αὐλαιῶν τῆς πίστεως ἔστηκεν· εἶεν.

Θ'. 15. Ἀλλὰ γὰρ τὸ περὶ τὴν Κυρίαν Εὐταξίαν τοῦ μάρτυρος διηγητέον μοι θαυμαστούργημα. Τί δὲ τὸ αἰνιγματῶδες τοῦτο καὶ σκοτεινὸν τοῦ ὀνόματος; καὶ δὴ ὁ λόγος διερμηνεύσει μοι καὶ ὡς οἷόν τε ὑποφωτίσει τῇ εὐκρινείᾳ τοῦ διηγήματος, εἰς εὔτακτον ἄγων τὴν κυριωνυμίαν τοῦ πράγματος. φ.84ᵛ

Μαυρίκιος, ἄναξ δ' οὗτος ρωμαίοις εὐσεβὴς καὶ χάρισιν ἔμπλεως, ἐφέρετο μὲν ὁμαλοῖς τὸ πρότερον τῆς τύχης κινήμασιν· ἀντιπνευσάσης δ' ἄλλως ἐς ὕστερον, τὸν τοῦ βίου ἢ τῶν πραγμάτων ἐς τὸ κάταντες μετεπεττεύσατο κύλινδρον. Καὶ Φωκᾶς μὲν ὁ τυραννικώτατος τῶν σκήπτρων ἐπελάβετο τῶν ρωμαϊκῶν, πᾶσα δὲ ἡ γῆ ἐφθάρη ἐναντίον αὐτοῦ τὸ τῆς θείας φάναι Γραφῆς· καὶ ἀδικίαι μὲν καὶ ἁρπαγαὶ ὅλῳ ποδὶ ἀνὰ πᾶσαν τὴν ρωμαίων ἐχόρευον, αἵματα δὲ φόνων τὴν πᾶσαν περιελίμναζον λόχοι καὶ ἔνεδρα, στάσεις τε καὶ περιτροπαὶ καὶ τὸ ἰσόνομον καὶ ἡ δίκη ἐκ μέσου τῶν ἀνθρώπων ἐγίνετο, καὶ ἁπλῶς εἰπεῖν, ἄναλα τὰ πάντα καὶ ἄτακτα καὶ διὰ τοῦτο καὶ στασιάζοντα καὶ κατὰ τὸν εἰπόντα, πάντα ὁμοῦ χρήματα καὶ οὐδὲν ἦν τῶν ρωμαίων, οὐ πόλις, οὐ χώρα, οὐ τόπος, ὅτι μὴ τοῦ τοσούτου κακοῦ ἐν πείρᾳ γεγένηται· σύγχυσις ἦν ἄντικρυς τοῦ παντός, ὁποίαν οἱ πάλαι τῶν μετεωρολόγων καὶ ἀστρολόγων ἐδόξασαν, ἡνίκα εἰς ἓν συνέλθωσιν ἀστέρες πάντες οἱ πλάνητες. Ἤρξατο μὲν γὰρ τὸ δεινὸν τῶν ἑῴων κλιμάτων καὶ περιῄει τρέχον ἀστάτῳ φορᾷ, εἶτα Κιλικίαν καὶ Παμφυλίαν καὶ τὰς ὁμόρους ἐπιδραμὸν εἰσελαύνει καὶ πρὸς δυσμήν· καὶ τῷ πολλῷ τῆς ρύμης τὰς διὰ μέσον πόλεις καὶ χώρας καταβοσκόμενον, φθάνει μέχρι καὶ τοῦ Ἰλλυρικοῦ καὶ πανταχοῦ κορυφοῦται καὶ θῆρας τοὺς συμφιλέτας ἄντικρυς καθιστᾷ πρὸς ἀλλήλους. Τοίνυν καὶ τῶν πόλεων τὰς μέν, τὰ τῶν οἰκητόρων ἐξ ὁμοφύλου χειρὸς κατέχραινεν αἵματα, τὰς δὲ πρὸς ἐμφυλίους μάχας καὶ στάσεις ἐξέμαινε· καὶ

ταῖς μὲν θόρυβος ἐπηρτύετο, ταῖς δὲ ἔρις οὐκ ἀγαθὴ ἀνεφλέγετο. Ἀλλ' οὐ καὶ τῇ Θεσσαλονικέων· ἀκοῇ γὰρ μόνῃ, μόνῃ πασῶν τῶν πόλεων καὶ χωρῶν τὰς συμφορὰς ἐξεμάνθανε καὶ πόρρωθεν, ὥσπερ ἑώρα τὴν πᾶσαν ὑποτυφομένην, τῷ τῆς τυραννίδος σκήπτρῳ μηδ' αὐτῆς ἐπαισθανομένη τῆς ἐντεῦθεν
5 δριμύτητος τοῦ καπνοῦ. Κἂν μέσῳ τοῦ τοσούτου κλύδωνος ναῦς οὐριοδρο-
φ. 85 μοῦσα | καθάπερ ἐφέρετο, φορᾷ τῷ πνεύματι τῆς γαλήνης ὑπὸ καλῷ πηδαλιούχῳ τῷ μάρτυρι. Πόθεν γὰρ ἄλλως εἶχεν ἐν μέσῳ τοσούτου χειμῶνος τῆς τῶν πραγμάτων ζάλης μόνη διαφυγεῖν, τὸ δ' αὐτὴν ὑποστῆναι τῆς τοσαύτης ναυτιάσεως τὸ κλυδώνιον, εἰ μὴ τῷ μάρτυρι κεκυβέρνητο, εἰ μὴ τῆς τρικυ-
10 μίας, ὡς ναῦν ἐπὶ κυμάτων, ὑπανεῖχεν αὐτὴν ὁ μέγας καὶ τῆς τότε ἀταξίας ἐρρύετο.

16. Ἀλλὰ καὶ ὀπτασία τις χαρᾶς καὶ φρίκης μεστὴ γνωριεῖ ἀριδηλότερον τὰ τοῦ θαύματος, ὡς μόνου Δημητρίου ἡ περὶ τὴν Θεσσαλονικέων τῷ τότε τήρησις καὶ εὐταξία καὶ τῶν κακῶν μακρὰν ἀποσόβησις· ὀπτασία, ἣν Θεὸς
15 ἄνωθεν, τὸν αὐτοῦ μεγαλύνων θεράποντα, ἀνδρί τινι ἐπιφανεῖ μὲν τὴν ἀξίαν, ἐπιφανεστέρῳ δὲ τὴν ἀρετήν, προσγενὴς οὗτος ἦν τῷ τηνικαῦτα τοῦ Ἰλλυρικοῦ ὑπατεύοντι, θαυμασίως παρέδειξε. Κατὰ γὰρ ἐκεῖνο καιροῦ, ὁπότε στάσις ἦν πανταχοῦ καὶ τῶν πραγμάτων περιτροπαί, τὴν Θετταλῶν ὁ λαμπρὸς οὗτος εἰσελάσας ἀνήρ, ἔρωτι τοῦ εἰς ὄψιν μὲν ἐλθεῖν τῆς τοιαύτης εὐδαίμονος
20 πόλεως, τῆς μαρτυρικῆς δὲ αὐτόπτης γενέσθαι ἱερᾶς μυροδόχου λάρνακος, ἔδοξε κατ' ὄναρ φθάσαι τῷ θείῳ οἴκῳ τοῦ μάρτυρος, αἰτῆσαί τε ὑπανοιγῆναί οἱ, τὸ τῷ ναῷ ἐμπεριγραφόμενον τοῦ Μεγάλου θεῖον ἀνάκτορον, ἐφ' ᾧ καὶ τὴν προσκύνησιν τῷ μάρτυρι σεβασμίως ἀφοσιώσασθαι καὶ τὴν μαρτυρικὴν ἀνοιγῆναι τούτῳ σορὸν καὶ ἰδέσθαι θαῦμα καὶ ὄψει καὶ ἀκοῇ ὡς
25 ἐξαίσιον· ἑώρα γὰρ ἄνω μὲν καὶ πρὸς αὐτὴν κεφαλὴν τοῦ θείου τάφου τοῦ μάρτυρος αὐτὸν τὸν Μέγαν ἐνθρονιζόμενον μεγαλοπρεπέστερον καὶ φαιδρότερον, νέον ἅμα καὶ χαριέστατον, ἀκτινοβολοῦντα καὶ πολλὴν τὴν αἴγλην τοῦ προσώπου ἐξαπαστράπτοντα, ὁ δὲ θρόνος χρυσῷ καὶ λίθοις πολυτίμοις βασιλικῶς κεκοσμημένος καὶ καλλυνόμενος· καὶ ἄνω μὲν ὁ μάρτυς ἐσπασμέ-
30 νος ρομφαίαν καὶ στρατιωτικῶς ἐσταλμένος, οὕτως ἐνίδρυτο· κάτω δὲ ὡς πρὸς τοὺς πόδας τοῦ μάρτυρος θρόνος ἕτερος ἀργυρήλατος· ὁ δὲ γυναῖκα κοσμίαν ὑπεριδρυμένην | εἶχεν αὐτῷ, ὡραίαν τὴν ὄψιν, πραεῖαν τὸ βλέμμα
φ. 85' καὶ πολλὴν τὴν ἡμερότητα τοῖς ὀφθαλμοῖς ἀποστάζουσαν. Ὡς γοῦν ταῦτα ὁ θεῖος οὗτος ἴδοι ἀνὴρ ἐγειρομένην τε τὴν σεμνὴν ἐκείνην θεάσοιτο, τῷ μάρ-
35 τυρι συντασσομένην τὸν ἐξιτήριον, ταχέως τε τοῦτον τῆς φαιδρᾶς καθέδρας ἀναπηδήσαντα καὶ ταύτην αὖθις ἐγκαθιζήσαντα καὶ μὴ ἂν καταλεῖψαι τὴν οἰκείαν πόλιν προσειπόντα, ἀλλὰ παραμένειν φυλάσσουσαν. Ὡς ταῦτα ὁ λαμπρὸς ἐκεῖνος ἴδοι ἀνὴρ καὶ καθ' ἑαυτὸν συζητοίη, τίς αὕτη, καὶ δι' ὅσην τοῦ ἀξιώματος τὴν ὑπεροχὴν μεγαλοπρεπῶς οὕτω συγκαθιζάνειν τῷ μάρτυρι,

ἀκούειν ἐδόκει τοῦ νεωκόρου, τὸ ζητούμενον ἑρμηνεύοντος καὶ τὸ ἀπορούμενον ἐπιλύοντος. Οὐκ οἶδας ταύτην εἶναι, ὦ ἄνθρωπε, τὴν Κυρίαν Εὐταξίαν, ἣ πρὸς Θεοῦ κατεπέμφθη τῷ μάρτυρι τὴν πόλιν ταύτην συγκυβερνᾶν;

Ὁμοῦ τε εἶδε ταῦτα καὶ ἤκουσε· καὶ πόρρω μὲν αὐτοῦ ὁ ὕπνος τῶν ὀφθαλμῶν, θείη δὲ περὶ αὐτὸν ὀμφὴ περικέχυται καὶ τρανῶς τῷ λαῷ ἐπ' Ἐκκλησίας δεδιήγητο τὰ τῆς ὄψεως καὶ ὡς οὕτως εἰπεῖν, Θεοῦ ἐλάλει κεκρυμμένα μυστήρια, ἃ πρὸς δόξαν τετερατούργηται ὑψόθεν τῷ μάρτυρι, καὶ πᾶς ἐκρότει πιστὸς τὰ μεγαλεῖα Θεῷ· τὴν ἀταξίαν μὲν ὁρῶντες πόρρω τῆς μαρτυρικῆς ταύτης πόλεως δραπετεύουσαν, τὴν δ' Εὐταξίαν καὶ Εἰρήνην ὁμαλῶς ἐπιβαίνουσαν αὐτῇ καὶ φυλάττουσαν. Τετερατούργηται μὲν οὖν οὕτω ταῦτα καὶ πρὸς Θεοῦ τῷ μάρτυρι μεμεγάλυνται.

Γ'. 17. Ἀλλὰ γὰρ καὶ τὸ περὶ τὸν πολὺν ταῖς ἀρεταῖς ἐκεῖνον Βιτάλιον ἐξαίσιον θαῦμα τοῦ μάρτυρος ἐνταῦθα τοῦ λόγου κείσθω· ἥλιος ὥσπερ ἄστρων ἐν μέσῳ τῶν ἄλλων αὐτοῦ θαυμάτων φαῖνον ἐκείνων πλέον ἐπὶ τῷ τῆς Ἐκκλησίας Χριστοῦ στερεώματι· εἰ γὰρ σιγῇ παραπέμψοιμεν, πόσην τὴν ζημίαν τοῖς εὐσεβέσιν ἐπάξοιμεν, τοιούτου τεραστίου θησαυρὸν κατορύξαντες; τοίνυν καὶ προσεχόντως, ἀλλὰ μὴ ἐρραστωνευμένως ἀκούοιτε, ὡς ἐντεῦθεν γνοίητε, οἷον ὁ μάρτυς ἀνέτλη μέγα τὸ μαρτύριον καὶ δριμὺ καὶ ἐπίπονον καὶ οἵαν τὴν χάριν πεπλούτηκεν ἄνωθεν ὡς ὑπερφερῆ καὶ ἀσύγκριτον.

Τέθραπτο ἀρεταῖς | παντοδαπαῖς ὁ Βιτάλιος καὶ πόνοις ἀσκήσεως ἀνὴρφ. 86
ἐδείκνυτο ἐπιθυμιῶν· οὗτος ἐν Ὄρει τοῦ Ἄθω, Ἅγιον τοῦτο τοῖς ἐν αὐτῷ ἁγίως βιώσασιν ὀνομάζεται, βίον διηνυκὼς τὸν ἐρημικὸν μόνος μόνῳ Θεῷ συγγινόμενος, ἐπείπερ ἀκούοι μύρων ἄντικρυς πηγὰς ἀκενώτους ἀναβλυζούσας τῆς Δημητριακῆς λάρνακος, γνωσιμαχεῖ καθ' ἑαυτὸν καὶ ὑπολογίζεται, μήποτε ἄρα οὐ πρὸς ἀλήθειαν ἐκ τῆς μαρτυρικῆς σωματικῆς διαρτίας, ἀλλὰ σκευαστὸν τὸ μύρον τουτὶ ἐπιδαψιλεύεται. Ἐπεὶ πῶς ἐς τόσον πεπλήθυνται, ὡς δήμοις καθ' ἑκάστην τοσούτοις ἀντλεῖσθαι καὶ ἐλαττοῦσθαι μηδοπωσοῦν, καὶ ταῦτα μηδὲ τοῦ μάρτυρος ἀνατλάντος δριμὺ τὸ μαρτύριον, μηδ' ἀγωνισαμένου ἐπὶ πολύ. Εἰ μὲν γὰρ πολὺς αὐτῷ ὁ ἀγών, ἦν ἂν πολὺς ἀναλόγως τούτῳ καὶ ὁ ἐκ τοῦ ἀγῶνος ἱδρώς, εἰς μύρον μεταπεποιημένος τῇ τοῦ θείου πνεύματος χάριτι. Ἐπεὶ δὲ βραχὺς καὶ ταχινὸν αὐτῷ τὸ μαρτύριον καὶ πρὸς μόνην πλευρὰν ἡ τρῶσις, πόθεν ἡ τοσαύτη τῶν μύρων δαψίλεια; ἀλλ' ὅτι μιμητικῶς τῶν τοῦ Χριστοῦ παθημάτων λελόγχευται τὴν πλευράν. Ἀλλ' ἔχομεν πλείστους ὅτι μάλα τοιουτοτρόπως πιόντας τὸ τοῦ μαρτυρίου θεῖον ποτήριον, εἰ δὲ καὶ χάρισι παρθενικαῖς ἦν ἐναγλαϊζόμενος, ἀλλὰ πόσους ἐξαριθμήσαιμεν τὸν ἁγιασμὸν εἰς τέλος ψυχῆς φυλάξαντας καὶ τοῦ σώματος, ὧν οὐδεὶς τοσαύτην καὶ τοιαύτην χάριν μύρων πεπλούτηκεν;

Οὕτως εἶχε, στρέφων ἐν ἑαυτῷ ἄλλοτε ἄλλους διαλογισμοὺς ὁ Βιτάλιος, ἡ στάσις ἦν αὐτῷ τῶν εἰς τόδε διανοήσεων ἥκιστα. Ἀλλὰ περὶ τῆς τοσαύ-

της μυροχυσίας τοῦ μάρτυρος, ὡς παρὰ πάντας τοὺς ἐξ αἰῶνος ἁγίους ὁ μάρτυς ταύτην πεπλούτηκε, φαίημεν ἂν πρὸς τὸν ἀμφιβάλλοντα: « ὦ ζητητικὲ τὰ πλεῖστα Βιτάλιε, ὅπως ἡ τηλίκη πηγὴ τῶν μύρων τῷ μάρτυρι εἰδείη μόνος Θεὸς ὁ πρυτανεύων τὸ χάρισμα τῷ οἰκείῳ θεράποντι· ταῖς ἄνω δέλ-
5 τοις γὰρ Θεοῦ δακτύλῳ γέγραπται καὶ ἐσφράγισται. Πλὴν ἀλλὰ καὶ πρὸς ἀπολογίαν ἐκ τοῦ εἰκότος σοι ὑπαντήσομεν. Ἔστι μὲν οὕτως ὡς εἴρηκας· καὶ πολ-
φ.86ᵛ λοὶ μὲν τῶν μαρτύρων πολὺν τὸν ἀγῶνα καὶ δριμύτερον | ὑπήνεγκαν καὶ μακρὸν τὸ μαρτύριον, πλεῖστοι δὲ καὶ τὸν ἁγιασμὸν ψυχῆς καὶ σώματος τετηρήκασιν ἄχραντον καὶ μαρτύρων οὐκ ὀλίγων λόγχη δημίων ἔνυξε τὴν πλευ-
10 ράν· ἀλλὰ τὰ πάντα ὁμοῦ ὅσα ἐμὲ εἰδέναι, ἑνὶ τῶν τοσούτων ἁγίων συνδεδραμήκατον ἥκιστα, ὡς καὶ πολὺν τὸν τοῦ μαρτυρίου ἀγῶνα ὑπενεγκεῖν καὶ τὴν πλευρὰν λογχευθῆναι καὶ παρθενίας εἰλικρινοῦς κατὰ πολλὴν τὴν περιουσίαν λάμπειν ταῖς ἁγιότησιν, ἐπὶ δὲ τῷ μεγάλῳ Δημητρίῳ ἀκραιφνῶς τὰ πάντα συνέδραμον κἀκ τούτου καὶ λαμπρὸν τὸ χάρισμα τῶν μύρων ἐπλού-
15 τησεν· οὐ μὴν ἀλλὰ καὶ πόθος ἦν, ὡς ἔοικε, τῷ Δημητρίῳ ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας δριμὺς καὶ ὅλον ἐγκάρδιον ἔφερεν οἰκουροῦντα καὶ διαναπαυόμενον. Καὶ τοίνυν ἐπείπερ μύρον ἐκκενωθὲν ὁ θεάνθρωπος Κύριος, οἶκος δὲ τούτου καὶ δοχεῖον, ὡς ἄν τις εἴποι, ὁ μάρτυς καθαρὸν καὶ τηλίκης εὐωδίας ἐπάξιον, ἐκεῖθεν δήτα κατὰ τὰ μυροδόχα ἀγγεῖα μεμύρισται καὶ τὸν
20 μυρισμὸν ἐντεῦθεν ἐπλούτει, πρὸ τῆς ἀθλήσεως μὲν ἄϋλον καὶ ἀσώματον καὶ μετὰ τὴν ἄθλησιν δὲ ἀριδηλότερον καὶ φαιδρότερον. Ἐνεζωγράφει μὲν γὰρ ὁ μάρτυς καθ' ἑκάστην ἐν ἑαυτῷ τὸν Χριστὸν καὶ τῆς ἐντεῦθεν εὐωδίας ἐπίμπλατο. Ἐπεὶ δὲ καὶ διὰ μαρτυρίου καὶ τῆς τοῦ πάθους ὁμοιότητος εἶδεν ἐγγίσαντὰ οἱ σωματικῶς, ἐξέθορεν ἡ τέως σκηνοβατοῦσα καὶ ἡσυχάζουσα μυ-
25 ριστικὴ εὐωδία τῷ μάρτυρι, ὡς εὐφροσύνως προϋπαντήσῃ μύρον Χριστὸν τὸν οὐράνιον· κἀκεῖθεν πλείονος πλησθεῖσα τῆς χάριτος ὑπερεξέβλυσε καὶ ὑπερεκβλύζειν οὐ πέπαυται. Εἰς τί δὲ ἕτερον βλέπει καὶ τὸ τῷ Σολομῶντι ἀσματιζόμενον, ὁπηνίκα θυροκοποῦντα τὸν νυμφίον ἐπὶ τῇ νύμφῃ παρίστησιν, « ἄνοιξόν μοι ἡ καλή, ἡ πλησίον μου » λέγοντα, ὡς μόνον ἐξυπανέστη
30 ἀνοῖξαι τῷ νυμφίῳ, νάρδον ἀποστάξαι τὰς χεῖρας αὐτῆς καὶ σμύρναν τοὺς δακτύλους ἀρωματίζουσαν; θυροκοπεῖ κἀνταῦθα ταῖς τοῦ μαρτυρίου λόγχαις πλευρὰν τὴν τοῦ μάρτυρος, ὁ καλὸς νυμφίος Χριστός· ἄνοιξόν μοι ἡ καλὴ τοῦ Δημητρίου ψυχή, ὡς εἰσελεύσομαι εἰς τὸν οἰκόν μου. Ἀνοίγει τοῦτον ὡς νύμφη, ἡ ἔνδοθεν τῆς εὐσεβείας ὡραιότης τοῦ μάρτυρος καὶ πάραυτα μύρον
φ. 87 ἀποστάζει ὡς ἐκ χειρῶν | τῆς εἰς τὸ μαρτύριον πρακτικῆς ἐργασίας τοῦ ἀθλητοῦ.

Ταῦτα μέν σοι παρ' ἡμῶν, Βιτάλιε ἱερώτατε, ἐκ τοῦ εἰκότος ὁ λόγος, ἔφη, στοχαζομένων τὸ ἀληθές· ἀλλ' ὅρα καὶ τὸν μάρτυρα, οὐκ ἐξ εἰκοτολογίας ἀποδεικνύντα σοι τὸ ζητούμενον καὶ τὸ ἀμφίβολον ἐπιλύοντα, ἀλλ' ἐξ
40 αὐτῆς ὄψεως ἀπ' αὐτοῦ τοῦ ζητουμένου σοι πράγματος. Ἐπειδὴ ἄλλοτε ἄλ-

λους ὁ θεῖος οὗτος ἀνὴρ ἐν ἑαυτῷ κινουμένους εἶχε τοὺς λογισμοὺς περὶ τοῦ πληθυσμοῦ τῶν μύρων τοῦ μάρτυρος, τοιοῦτόν τι οἰκονομεῖται τούτῳ παράδοξον.

18. Ἐδόκει καθ' ὕπνους γενέσθαι τῇ Θεσσαλονικέων πόλει καὶ τὸν ναὸν καταλαβέσθαι τοῦ μάρτυρος, εὑρεῖν τε τὸν νεωκόρον καὶ προσειπεῖν καὶ ἀκοῦσαι, ᾗ βούλει ἰδέσθαι τὸν μάρτυρα καὶ ἀνθυπενεγκεῖν τὸν Βιτάλιον καὶ λίαν εἰς τοῦτο ἔχειν διψητικῶς, ὥστε καὶ ἰδεῖν καὶ προσπτύξασθαι· καὶ οὕτως ὁ μὲν προηγεῖτο ὁ νεωκόρος, εἵπετο δὲ ὁ Βιτάλιος· ὡς δ' ἐγγὺς τῆς θείας κιβωτοῦ τοῦ μάρτυρος γένοιντο, εἰσελθέτων ἄμφω ἐκ τοῦ λαιοῦ καὶ τὰς θύρας μετέθεντο καὶ τὴν ἱερὰν μετέστησαν λάρνακα καὶ μαρμάρους ἐκεῖθεν ᾖραν ἐκ μέσου ἑπτὰ καὶ πρὸς ὀρυγὴν μὲν ἀμοιβαδὸν τοῦ ἐκεῖσε χώματος ἐνησχόληντο, τὸ δ' ἐκεῖθεν ἐκφορούμενον ἦν πηλῶδες, πεφυρμένον ἐκ μύρου καὶ χώματος, μετὰ δέ, χοῦς ἕτερος καθαρὸς ἀπηντλεῖτο ἐκεῖθεν, εὐωδίας πλείστης ἀνάπλεως. Ἐπεὶ δὲ ἡ ὀρυγὴ φθάσοι πήχεων ἄχρι τριῶν καὶ μικρόν τι πρός, λάρναξ ἐφάνη τούτοις περικεκαλυμμένη μαρμάρῳ λευκῷ, ἣν καὶ ταύτην ἐκεῖθεν διάραντες καὶ τὴν λάρνακα ἀνακαλυψάμενοι, εἶδον ἔνδον ταύτης ἀκτινοβολοῦντα τὸν μάρτυρα κείμενον, ζῶντα καθαρῶς καὶ ἐοικότα ὑπνώττοντι, ὑπομειδιῶντα καὶ φαιδρωπόν. Καὶ ἰδοὺ μυρίαι τρήσεις τῷ μάρτυρι ἐκ τραχήλου μέχρι καὶ ὀσφύος αὐτῆς πεπυκνωμέναι καὶ ἀλλήλους ἀκριβῶς προσεγγίζουσαι, κατὰ τὰς κηροπλαστουμένας ταῖς μελίσσαις ὀπάς, σκεῦος οἷον μυριοπὸν καὶ μύρων μυρίων φλέβες ἐκ τῶν ὀπῶν ἐπήγαζον, σφοδρῷ καθάπερ κάτωθεν ἀναφυσώμεναι πνεύματι καὶ μικροῦ δεῖν οἱ ἄνδρες οὗτοι καὶ κατεκλύζοντο τοῖς τῶν μύρων ἀναπιδύουσι ρεύμασιν· ὅτε καὶ ὁ Βιτάλιος ἰδὼν καὶ ὑπερθαυμάσας τὸ θεῖον ἐκεῖνο σῶμα τοῦ μάρτυρος καὶ προσεκύνησε | καὶ ἠσπάσατο καὶ σκεῦος τι, ὡς ἐδόκει, φέρων χερσίν, ὃ δήτα ἐγχωρίως κα- φ.87ᵛ
λεῖται κουτρούβιον, τοῦτο τῶν ἀναβλυζόντων ἐκεῖθεν μύρων πεπλήρωκεν. Αὖθις οὖν τὴν μυροφόρον ἐκείνην ἐπιπωματίζουσι λάρνακα καὶ ταύτῃ χοῦν τὸν εὐώδη περιτιθέασι· καὶ οὕτω πάλιν τὸ ἐκ τῶν μύρων πηλῶδες ἐκεῖνο τὰς μαργάρους τε καὶ τὴν φαινομένην πᾶσιν ἄνωθεν λάρνακα. Εἶθ' οὕτω τὴν σεπτὴν καὶ πάλιν μαρτυρικὴν κιβωτὸν θυρήσαντες, ὡς τὸ πρότερον, ἐξῆλθον καὶ τοῦ ναοῦ καὶ τῆς πόλεως, ὁ μὲν Βιτάλιος τραπεὶς παλιμπόρευτος πρὸς ὅθεν δῆτα, ὡς ἐδόκει, ἐλήλυθεν, ὁ δὲ νεωκόρος ὡς τοῦτον μέχρι τινὸς τόπον διασωσόμενος, Ἁλμυρὸς τῷ τόπῳ τὸ ὄνομα. Ἐκεῖθεν οὖν αὐτῷ συνταξάμενος, αὖθις ὑπέστρεψεν, αἰτησάμενος μὲν τὸν Βιτάλιον ἐκ τοῦ μύρου λαβέσθαι, ὅπερ τοῦ μαρτυρικοῦ ἀπήντλησε σώματος, μὴ τυχὼν δὲ τοῦ ζητήματος, εἰ μὴ μόνον νοτίδος μικρᾶς ἐκ τούτου τὸ μέτωπον σταυροειδῶς ἐγχρισάμενος.

Τί τὸ ἐπὶ τούτοις; Ἀφύπνιστο ὁ Βιτάλιος καὶ ἰδοὺ τὸ μαρτυρικὸν μύρον ταῖς χερσὶ περιέφερε καὶ ὅλος ἦν τοῖς μύροις διάβροχος καὶ ὅλος ἦν τῆς εὐωδίας ἀνάπλεως, ἔκπληκτος ὅλος, ὅλος ἐνθουσιῶν, τρόμῳ κεκραμένος καὶ χαρμονῇ, «μήποτε, λέγων, καὶ εἰσέτι ὀνειροπολῶ καὶ μύρα φαντάζομαι καθ'

ὕπνους φέρειν τοῦ μάρτυρος; ἀλλ' ὡς ἔοικεν, οὐδὲ τὰ τῆς ὄψεώς μοι πρὸς ὄναρ καὶ τοῦ φανταστικοῦ ἀνατύπωσις, ἀλλὰ σωματικὴ ἡ ἐνδημία μοι ἄχρι τῆς μαρτυρικῆς τιμίας σοροῦ αὐτοῦ μοι τοῦ Μεγάλου. Ὦ θείου τεραστίου τε καὶ ἀκούσματος, τὰ πάντα οἰκονομήσαντος, ὡς μὴ καὶ βλασφημίας κρημνοῖς
5 περιπέσοιμι! Δίδυμος ἄντικρυς ἄλλος ἐγὼ μαθητὴς καὶ τὴν νενυγμένην πλευρὰν ὁμοῦ καὶ πάσας τὰς ὠτειλὰς ἀναπετάννυσιν ἐμοὶ ὁ Χριστομάρτυς εἰς ψηλάφησιν, ὡς καὶ αὐτὸς πεισθείην καὶ ἄλλοις πιστώσαιμι τὴν ἀλήθειαν· ἤρθην καὶ αὐτὸς τῷ μάρτυρι, κατὰ τὸν Ἀββακούμ, διαέριος καὶ τῷ τοῦ τάφου λάκκῳ γεγένημαι, ὅπου δῆτα τὴν ὁδὸν ὁ μάρτυς τοῦ μαρτυρίου δραμὼν
10 ἀναπέπαυτο, οὐχ ἕψημα φέρων αὐτῷ, ὡς ἐκεῖνος πάλαι τῷ Δανιήλ, ἀλλ' ἐκεῖ-
φ. 88 θεν μᾶλλον | μύρα λαμβάνων πλευρᾶς τῆς τούτου ἐξαπορρέοντα· ἤρθην αὐτῇ ψυχῇ, αὐτῷ σώματι, τρόποις οἷς οἶδεν ὁ τῷ ὄντι Μέγας Δημήτριος. Τί γὰρ ἄλλο καὶ βούλονται χεῖρες αὗται μύρα κατέχουσαι; τί δέ μοι χιτῶνες μύρῳ διάβροχοι καὶ εὐωδίαν τόσην ἐξαποπνέοντες, εἰ μὴ χερσὶν ἀληθῶς ταύταις ἐκ
15 τῶν μαρτυρικῶν ὠτειλῶν τὸ μύρον εἰσδέδεγμαι, εἰ μὴ πρὸς ὀργὴν σωματικῶς τῆς τοῦ μάρτυρος ὑπηρέτησα λάρνακος;» Ταῦτα λέγων τὸ τεράστιον ἀνεκήρυττε, τὰ μύρα καθυπεδείκνυεν, ἐκρότει, ἐσκίρτα ὑφ' ἡδονῆς, ἠνθωμολογεῖτο τῷ μάρτυρι, «ὦ Μέγιστε μαρτύρων πάντων», ἀναβοῶν· «ὦ πλέον πάντων ἀγωνισάμενος· ὦ πληγῶν ἐκείνων μυρίων ὑπὲρ Χριστοῦ· ὦ τρώσεων·
20 ὦ ἁγίας σαρκός, ἣν εἶδον πηγάζουσαν ρεύματα μύρων ἀκένωτα· ὦ πλέον πάντων ποθήσας Χριστὸν καὶ πλέον πάντων ὑπεραγαπηθεὶς καὶ πλέον πάντων χαριτωθείς, νῦν τὴν ἐπὶ σέ, Δημήτριε μέγιστε, δόξαν Θεοῦ διηγήσομαι καὶ ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σου τὸ τεράστιον».

Ἔκτοτε καιρὸς παρῳχήκει βραχὺς καὶ πλοῖον εἶχε τὸν θεῖον Βιτάλιον,
25 πρός τι τῶν κατὰ τὴν ἑῴαν φροντιστηρίων ἐκπλέοντα, Λάτρον τῷδε τὸ ὄνομα. Πλέει γοῦν ἡμέραν ὅλην σὺν τῇ νυκτὶ καὶ πάλιν περὶ τὰς ἀκτὰς τοῦ Ἄθω ἡ ναῦς. Αὖθις ἕτερος πλοῦς καὶ κυμαγωγίαι σφοδραὶ καὶ ἀντίπνοιαι καὶ τὸ πλοῖον ἐν Θεσσαλονίκῃ καὶ ὁ Βιτάλιος· μέσον γοῦν τοῦ μαρτυρικοῦ γενόμενος θείου σηκοῦ, ἐν μέσῳ ἐκκλησίας ἀρχῆς ἀπ' ἄκρης ἐκήρυττε τὸ
30 θαυμάσιον καὶ ὁ Θεὸς ἐδοξάζετο καὶ ὁ μάρτυς ἐμεγαλύνετο.

ΙΑ'. 19. Ἐκεῖνο δὲ τῶν θαυμάτων, ἀλλὰ καὶ τοῦτο θαυμασιώτατον καὶ παραδοξότατον· οὔκουν οὐδ' ὁ λόγος τοῦτο τοὺς φιλακροάμονας ζημιώσειε, μήπου καὶ λάθοι γραφὴν ἱεροσυλίας ἐπάξειν αὐτῷ, τηλίκην θαυματουρ-
35 γίαν σιγήσας καὶ ὡς ὑπὸ μόδιον οἷον ἐγκαλυψάμενος. Γέγονέ τις ἐξ Ἀφρικῆς ἀνήρ, ὡς μὲν συνετός, ὡς δὲ τὰ θεῖα θεοσεβὴς καὶ πολὺς μὲν τὴν ἀρετήν, ἀρχιερατικῷ δὲ κοσμούμενος ἀξιώματι, ὄνομα τούτῳ Κυπριανός. Οὗτος
φ. 88ᵛ τὴν | πρὸς τὴν Βασιλίδα τότε διά τινας χρείας στελλόμενος, περίπου τοὺς τῆς Ἑλλάδος τόπους ἀπροσδόκητα τῷ τῶν Σκλαβίνων λόχῳ ἐνήδρευται. Ἀπά-
40 γεται τοίνυν τῇ σφῶν χώρᾳ ἀνδράποδον ὁ κατ' ἄμφω πολιὸς καὶ σεμνὸς ἐκεῖ-

νος ἀρχιερεύς. Ἐντεῦθεν αὐτῷ δουλεία βαρβαρικὴ καὶ δοῦλος βαρβάρου δεσπότου καὶ ἀκαθάρτου καὶ ἄντικρυς μιαιφόνου θηρός, ὁ θύτης καὶ οἰκονόμος τῆς καθαρᾶς καὶ ἀναιμάκτου θυσίας καὶ τῶν λογικῶν τοῦ Χριστοῦ θρεμμάτων ποιμὴν καὶ διδάσκαλος· κόφινος ἐπὶ τῶν ὤμων αὐτῷ καθεκάστην καὶ κόπρου τῆς βαρβαρικῆς ἱπποστασίας ἐκφόρησις, πληγαὶ κατὰ νώτων, πληγαὶ κατὰ κόρας, κατὰ σιαγόνος ραπίσματα, ὁπότε δῆτα ἐξαποκναίει τῷ χρόνῳ τε καὶ τῷ πολλῷ τοῦ τῆς δουλείας βάρους. Ὦ βάθος τῶν σῶν κριμάτων, Λόγε Θεοῦ ἀλεξίκακε, ἡ πρεσβυτικὴ ἐκείνη καὶ ἱερὰ πολιά, καὶ ἣν τῷ βαρβάρῳ ὡς λαὸς ὁ ἀρχιερεὺς τρόπον ἕτερον· ποῦ γὰρ διαστέλλειν οἶδεν ἡ βάρβαρος ἐκείνη ψυχὴ ἀνὰ μέσον ἱεροῦ καὶ βεβήλου, ὡς μὴ ἅπτεσθαι τοῦ Χριστοῦ Κυρίου καὶ ἀπηνέστατα πονηρεύεσθαι;

20. Τί τὸ μετὰ ταῦτα; αἴρει πρὸς οὐρανὸν τὸ ὄμμα ὁ μαστιγίας ἐκεῖνος ἀρχιερεύς, μετακαλεῖται τὴν ὑψόθεν βοήθειαν καὶ ταχὺ αὐτῷ ἀνατέταλκε τὰ ἱάματα καὶ ὁ ῥύστης ἐξ ὑψωμάτων δόξης ἀποστέλλεται ταχινώτατος. Νὺξ ἦν καὶ κατὰ γῆν κατέδαρθεν ὁ ἀρχιερεὺς καὶ τοίνυν ὄναρ αὐτῷ θαυμάσιον ὁ μάρτυς ἐφίσταται. Ἑώρα γάρ, καὶ ἰδοὺ ἀνὴρ ἐνδεδυμένος πανοπλίαν στρατηγικήν, ἔφιππος, ξιφηφόρος, νέος ἅμα καὶ χαριέστατος καὶ «ἐκ τῆς αἰχμαλωσίας ἀπαλλαγῆναι βούλει καὶ τῶν δεσμῶν, φησίν, ἀκολούθει μοι». Γνωρίζει τούτῳ καὶ ὄνομα καὶ πατρίδα καὶ τὸ ἀξίωμα, ὅτι τε Δημήτριος καλεῖται καὶ Θεσσαλονίκη τούτῳ πατρὶς καὶ στρατιώτης τυγχάνει, λαμπρὸν καὶ τὸ ἀξίωμα περικείμενος. Λύεται παραχρῆμα τῶν δεσμῶν ὁ ἀρχιερεὺς καί, ᾗ ποδῶν εἶχε τάχους, τῷ φανέντι ἀκολουθεῖ. Ἡμέρα παρῆλθεν ἡ πρώτη, ἡ δευτέρα παρῆν καὶ μετ' αὐτὴν ἡ τρίτη καὶ καθεξῆς, ἄχρι καὶ τῆς ὀγδόης, ποδηγετοῦντος τοῦ μάρτυρος, καὶ κατὰ Θεσσαλονίκην ὁ ἀρχιθύτης ἰδού, καὶ | φ. 89
ὁ ὁδηγὸς ἀφανής, εἰσῄει τὴν πόλιν, πυνθάνεται τίς ὁ ἐν αὐτῇ οἰκῶν στρατιώτης Δημήτριος, διηγούμενος ὅπως αὐτὸν τῆς αἰχμαλωσίας λυτρώσοιτο· εἰσέτι γὰρ τρόπους οἰκονομίας κεκάλυπτο οἱ τὸ τῆς μαρτυρικῆς θαυματουργίας μυστήριον, ὡς ἐπὶ μᾶλλον δημοσιεύοιτο τὸ τεράστιον καὶ μεγαλύνοιτο τῷ μάρτυρι τὸ θαύμασιον. Ὡς γοῦν πρὸς γνῶσιν οἱ ἀκούοντες γένοιντο, ὡς τὰ τοῦ πράγματος θαυματουργία μαρτυρικὴ εἰς αὐτά, τοῦτον ἄγουσι τοῦ μάρτυρος τὰ θεῖα ἀνάκτορα· ὁ δὲ ἅμα τε εἴσεισι καὶ τῇ εἰκόνι τὸν μάρτυρα ἴδοι, καὶ ξιφηφόρον ὁμοῦ καὶ ἱππότην θεάσοιτο, αὐτὸν ἐκεῖνον τὸν φανέντα οἱ παρευθὺ ἀναγνωρισάμενος, τότε δὴ τότε ἀποκαλύπτεται αὐτῷ τὰ τοῦ θαύματος καὶ πεσὼν εἰς πρόσωπον ἠνθωμολογεῖτο τὰ χαριστήρια, Θεῷ καὶ τῷ μάρτυρι καὶ «νῦν ἔγνων, ἐβόα, ὅτι ἀπέστειλε Κύριος τὸν μάρτυρα αὐτοῦ καὶ ἐρρύσατό με ἐκ χειρὸς τῶν θλιβόντων με καὶ ἀπὸ πηλοῦ ἰλύος καὶ ἔστησεν ἐν εὐρυχώρῳ τοὺς πόδας μου καὶ τὰ διαβήματά μου κατεύθυνε, σίδηρον διῆλθεν ἡ ψυχή μου τὸν τῶν δεσμῶν, αἱ χεῖρες μου αὗται ἐν τῷ κοφίνῳ ἐδούλευσαν, ἀλλὰ νῦν ἰδοὺ αἴρω ταύτας μετ' εὐφροσύνης, ὅθεν ἡ βοήθειά μου ἐλήλυθε». Καὶ τῷ στόματι, μὲν Θεὸν ἐμεγάλυνε, ἐξ ὀμμάτων δὲ τὸ ὑποκεί-

μενον τοῦ νεὼ κατέβρεχεν ἔδαφος· κρουνηδὸν γὰρ αὐτῷ κατέρρεε τὸ τῆς χαρᾶς ὁμοῦ καὶ κατανύξεως δάκρυον.

21. Ἐντεῦθεν πόλις πᾶσα ἑορτὴν ἄλλην τῆς τηλίκης θαυματουργίας ἐκρότουν τῷ μάρτυρι καὶ τὸ τεράστιον ἐμεγάλυνον. Ἀλλ' ὁ ἀρχιερεὺς ἐκεῖνος Κυ-
5 πριανός, ὁ αἰχμάλωτος, ὁ δέσμιος, ὁ ἐλεύθερος ἐν τῷ μάρτυρι, τὴν Κωνσταντίνου μετὰ ταῦτα καταλαβών, ᾗ τὰ τῆς προθέσεως τούτῳ πρὸ τῆς αἰχμαλωσίας κατήπειγε, κἀκεῖ τὸ ἐπ' αὐτῷ τοῦ Δημητρίου θαυμάσιον διηγησάμενος καὶ παρρησιασάμενος, ἐπεὶ καὶ αὖθις τῷ σφετέρῳ ποιμνίῳ γένοιτο, τὸν Μέγαν ὥσπερεὶ δεξιούμενος τῆς ἀπολυτρώσεως, ναὸν ἐγείρει ἐπὶ τῷ θείῳ τούτου
10 ὀνόματι, καλύνει, λαμπρύνει τοῦτον.

Ἀλλὰ γὰρ καὶ μαρμάρων ἐπεὶ εἰς χρείαν καθίσταται, ὡς δι' αὐτῶν φαιδρότερον κατακαλλύνει τῷ μάρτυρι τὸν ναόν, εὑρίσκει τοῦτον συνέριθον. |
φ.89' Φαίνεται γὰρ αὐτῷ καὶ «τὸ ἐν τῷ λιμένι πλοῖον προσοκεῖλαν ἄρτι φάσκει εὑράμενος, τῶν ἐν χρείᾳ ἔσῃ ἐπιτυχής», πρόσεισι τῷ ναυκλήρῳ τὴν ζήτησιν τῶν
15 μαρμάρων ποιούμενος· ἐθελοψευδὴς ὁ ναύκληρος γίνεται καὶ τὸ ζητούμενον μὴ ἔχειν διϊσχυρίζεται· παύεται ὁ ἀρχιερεὺς τῆς ζητήσεως· αὖθις ὁ μάρτυς καὶ τόπον δείκνυσι τοῦ πλοίου αὐτῷ, ὅποι αἱ μάρμαροι, ὁπόσαι τε καὶ ὁποῖαι, καὶ τόπον τούτων ἀριθμὸν καὶ ὄνομά οἱ προσημηνάμενος καὶ ὅτι τὰς ἃς ὁ ναύκληρος φορτηγεῖται τῷ πλοίῳ μαρμάρους ὀνόματι τοῦ ἀδελφοῦ καὶ συμμάρτυ-
20 ρος Βίκτωρος ταύτας ὠνήσατο καὶ ἃς ἑτέρας εὑρών,ταύτας αὐτῷ ἐδωρήσατο. Πάλιν ὁ ἀρχιερεὺς τῷ ναυκλήρῳ καὶ τόπον σημαίνει καὶ ὄνομα καὶ μέτρον καὶ εἶδός οἱ, καὶ ὅσαι καὶ ὁποῖαι αἱ μάρμαροι καὶ ὡς δωρηθεῖεν αὗται Δημητρίῳ τῷ μεγάλῳ παρὰ Βίκτωρος τοῦ συμμάρτυρος. Ὡς γοῦν οὕτως ἀκούει ὁ ναύαρχος, συνῆκεν ὡς οὕτω βούλεται ἡ προβλεπτικὴ χάρις τοῦ μάρτυρος
25 καὶ παραυτὰ τὰς μαρμάρους δίδωσι τῷ ἀρχιερεῖ καὶ τὸ ἔργον οὕτω τῆς τοῦ ναοῦ περικοσμήσεως εὐθὺς συμπεραίνεται.

Τίς δ' ἐξαριθμήσειε νοῦς, ποῖος δὲ λόγος ἐκδιηγήσεται τὰς τῶν αἰχμαλώτων ἀναρρύσεις ἐκ πάσης χώρας βαρβαρικῆς, ἃς ὁ μέγας καθεκάστην ἐπιτελοίη σχεδόν, τοὺς μὲν ἐλευθερῶν ἐξ αὐτῶν δεσμῶν παραυτὰ καὶ πρὸς τὸ
30 οἰκείοις φεύγειν ποσὶν ἀφιείς, τοὺς δὲ ἐπούλους τῷ σφετέρῳ ἵππῳ ἀνελαφριζόμενος, φαινόμενος ἔφιππος· τῶν φρουρῶν τὰς μὲν ἀνοιγνὺς ἀοράτως, τὰς δὲ καὶ ἀσαλεύτους κλεῖθρα καὶ σφραγῖδας διατηρῶν, τῶν δεσμίων ἀποκενῶν καὶ πόλεως τῆς οἰκείας ἄχρι Θεσσαλονίκης ἀερίους ὥσπερ τούτους ἀνασωζόμενος· ὡς ἐντεῦθεν καί ποτε τὸν δεσμοφύλακα τοὺς δεσμίους μετροῦντα κε-
35 κλεισμένους εἴσω φρουρᾶς, ἐπεί τινας ἀπολέσει, οὓς ὁ Μέγας ἐξήρπασε τῶν δεσμῶν, διαπορούμενον εἰπεῖν: «τί τοῦτο; μήποτε καὶ αὖθις ὁ ἐκ Βουλγάρων κλέπτης τῇ φυλακῇ ἐπεδήμησε καὶ δεσμίους ἐξήρπαξεν;» ᾔδει γὰρ ὡς πολλάκις τῷ μάρτυρι, πολλοὺς δεσμίους ἐκ τῆς φρουρᾶς ἐζημίωται· ἐωρᾶτο γὰρ καὶ τοῖς βαρβάροις ἱππαζόμενος ὁ Μέγας, οἷς οἷδε λόγοις, φέρων αἰχμάλωτον
40 ἔποχον καὶ τὸν ἁρπάζοντα ἢ κλέπτοντα καὶ διωκόμενον ἅμα καὶ φεύγοντα

θαυμασίως ἐσχηματίζετο. Ἀλλὰ τί σοι τῷ Μεγάλῳ τοῦ Χριστοῦ στρατιώτῃ; τί σοι τῷ συμπαθεστάτῳ καὶ φιλοπάτριδι ἀντιδοίημεν ὁ λαός σου τῆς εἰς ἡμᾶς σου κηδεμονίας, τῆς εἰς ἡμᾶς πολλῆς σου χρηστότητος;

ΙΒ΄. 22. Θεομηνία τῇ πόλει ταύτῃ διὰ τὰ πονηρὰ | ταύτης ἐπιτηδεύ- φ. 90
ματα καὶ θεόθεν ἤδη κίνδυνος αὐτῇ ἐπεκρέματο· καὶ βάρβαρον αὖθις ἔθνος 5
παρίστριον ἐστρατοπέδευτο καθ' ἡμῶν καί τις ἀνὴρ τῶν ἡμεδαπῶν θεοσεβὴς καὶ τῶν θείων ἐντολῶν ἀπρὶξ ἐξεχόμενος σχολαστικὸς ὢν τοῦ μάρτυρος τῷ ναῷ, Ἰλλούστριος τὴν ἀξίαν, πρωτοσπαθάριον τοῦτον οἶδεν καλεῖν ἡ ἑλληνικὴ λεκτική. Οὗτος ἐδόκει κατὰ τοὺς χρόνους Μαυρικίου, τοῦ τὰ Ρωμαίων σκῆπτρα διέποντος, τὸν μαρτυρικόν, ὡς ἔθος εἶχε, καταλαβέσθαι ναόν, ὅτε καὶ 10
ἀγγέλους ἐν εἴδει λαμπρομόρφῳ ἑώρα, ὡς εἰκάζειν, βασιλικοὺς εἶναι τοὺς ἄνδρας περιφανεῖς, οἳ καὶ στήτην μὲν ἔνδον κατὰ τὸ τοῦ ναοῦ δυσμικόν, μέσον αὐτοῦ που τῶν κατὰ δύσιν τοῦ νεὼ ἱσταμένων μεγάλων πρασίνων κιόνων, Θετταλοὺς τούτους ἡ πάλαι γλῶσσα καλεῖ. Ἐνταῦθα στάντες, εἶπον τῷ ρηθέντι ἀνδρί· «τῷ κυρίῳ τοῦ οἴκου τοῦδε βούλεσθαι ἐντυχεῖν;» καὶ τὸν ταχέως πελάσαντα ταῖς θύραις τῆς ἱερᾶς μαρτυρικῆς κιβωτοῦ καὶ τὴν τῶν ἀνδρῶν παρουσίαν μηνύσαντα, παραυτὰ τὸν Μέγαν διᾶραι τὰς θύρας καὶ τοῖς φανεῖσι προαπαντῆσαι, ἀγχοῦ που ἤδη φθάσασι καὶ αὐτοῖς καὶ προσειπεῖν ὅσα καὶ συνήθεις καὶ παρὰ βασιλέως ἥκοντας, «πυθέσθαι τε καὶ ἀκοῦσαι, κελεῦσαι τὸν βασιλέα τῇ σῇ ἁγιότητι τὴν πόλιν τήνδε καταλιπεῖν καὶ πρὸς αὐτὸν γενέσθαι, 20
ὡς αὐτὴν παραδοίη τοῖς ἐχθροῖς εἰς ἀνάλωμα». Καὶ τὸν Μέγαν ἀκοῦσαι ταῦτα καὶ δακρύσαι καὶ τὴν κεφαλὴν ἐκ πολλῆς ἐπικλῖναι τῆς λύπης καὶ ἄφωνον ἑστάναι ἐφ' ἱκανὸν καὶ οὕτως ὀψὲ καὶ μόλις εἰπεῖν, «τί τοῦτο; οὕτω τὸν συμπαθῆ βασιλέα καὶ δεσπότην ἡμῶν, τὸν φύσει πραῦν καὶ μακρόθυμον, ἡ τοῦ λαοῦ τοῦδε ἁμαρτία ἐξέκαυσεν εἰς ὀργήν; οὕτως ἔδοξεν, ὡς τῇ χριστωνύμῳ 25
ταύτῃ πληθύϊ, τῇ χριστωνύμῳ μάνδρᾳ, δι' ἣν ὁ καλὸς ποιμὴν τὴν ψυχὴν τέθεικεν, ὑπὲρ ἧς τὸ τίμιον αἷμα ἐξέχεεν, ἐπαφεῖναι ῥάβδον τῶν ἀσεβῶν;» Καὶ τὸν εἰπόντων, οὕτως τὸν συμπαθέστατον ἀνθυπενεγκεῖν μάρτυρα, πρὸς Θεὸν ποιούμενον τὸν ἱκέσιον, «ὦ Κύριε, ποῦ εἰσι τὰ ἐλέη σου; ποῦ οἱ οἰκτιρμοί σου μακρόθυμε; οἶδα ὡς κατακαυχᾶται τῆς δικαίας κρίσεώς σου ὁ ἔλεος, διὰ 30
σπλάγχνα τῶν σῶν οἰκτιρμῶν· διὰ τοῦτο μὴ δῷς εἰς ὄνειδος τὴν κληρονομίαν σου· μὴ παραδῴης εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου· ἡμάρτομεν, ὁ θεός, ἐνώπιόν σου· οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡμεῖς ριπτοῦμεν | ἐνώπιόν σου τὸν ἡμῶν οἰκτιρμόν, ἀλλ' φ. 90ᵛ
ἐπὶ τοὺς σοὺς πολλοὺς οἰκτιρμούς· ἱλάσθητι ἕνεκεν σοῦ, Κύριε ὁ θεός μου, 35
ὅτι τὸ ὄνομα σου ἐπικέκληται ἐπὶ ταύτην τὴν πόλιν σου· φύλακά με γενέσθαι ταύτης εὐδόκησας καὶ εἶναι καὶ ὀνομάζεσθαι· σὲ τοίνυν μιμήσομαι τὸν δεσπότην μου· τίθημι καὶ αὐτὸς ὑπὲρ αὐτῆς τὴν ψυχήν· ἐν τῷ ἐλέει σου σώζοιτο, συνσωθήσομαι· ἐν τῷ θυμῷ σου ἀπόλοιτο, συναπολεσθήσομαι».

Ταῦτα ὁ Μέγας ἱκετεύων ἐν δάκρυσι, ταῦτα καὶ ἀπαγγεῖλαι τῷ βασιλεῖ τοῖς φαινομένοις εἰπών, αὖθις παλινοστεῖ τῇ σορῷ καὶ αἱ θύραι κατησφαλίζοντο καὶ οἱ φαινόμενοι, ἀφανεῖς. Ταῦτα ἐν ἐκστάσει ὁ ἱερὸς ἐκεῖνος Ἰλλούστριος θεασάμενος, τῇ πόλει διετείνετο. Καὶ αὕτη τῆς τοῦ Μεγάλου μεσιτείας αἰσθομένη καὶ ἀντιλήψεως, γίνεται μὲν ταχὺ πρὸς διόρθωσιν καὶ τῶν ἐσφαλμένων μετάνοιαν, ἀναθαρροῦσι δὲ καὶ κατὰ τῶν βαρβάρων ἀναπηδῶσι καὶ τρέπονται κατὰ κράτος αὐτούς, κροτοῦντες τὸν εὐσυμπάθητον μάρτυρα καὶ Θεὸν τὸν εὐδιάλλακτον μεγαλύνοντες.

ΙΓ'. 23. Τὰ δὲ κατὰ τοὺς Ἄβαρας, Χαγάνος ἄρχων αὐτοῖς, ἔθνος τοῦτο Οὐνικὸν ὁμοῦ καὶ Βουλγαρικόν, ποίαν οὐχ ὑπερβαίνει θαυμάτων ὑπερβολήν; Ὁρμᾷ καὶ τοῦτο τὸ βάρβαρον κατὰ τῆς κληρονομίας τοῦ Χριστομάρτυρος, πλῆθος ὅτι μάλα πολύ, χιλιάδας περίπου φθάνοντας ἑκατόν, νέφος ἀντικρυς σκοτεινόν, τραφὲν καὶ παχυνθὲν ἀχλύϊ θυμοῦ καὶ μανίας καπνῷ. Καὶ πρῶτον μὲν ἀκηρυκτεὶ ἀθρόον ἐμπεσὸν τῇ πόλει, διὰ τῶν κλιμάκων ἔνδον εἰσπηδᾶν ταύτης ἐφιλονείκησεν· ἐπεὶ δὲ διὰ τῶν κλιμάκων κατὰ πᾶσαν ἄδειαν ἀνατρέχοντες κατεσφάττοντο τῷ Μάρτυρι φαινομένῳ καὶ ἀπεσφαιρίζοντο ἄνωθεν, πηγνύουσι γύρωθεν τὰς σκηνίας καὶ πᾶσαν συσκευάζουσιν οἰκονομίαν ἀρεϊκήν, χελώνας βεβυρσωμένας οὐ μετρητάς, κριοὺς καὶ ξυλίνους πύργους, ἐπέκεινα τῶν ὑψηλοτέρων τῆς πόλεως ἀνατρέχοντες, ὅτι πλείστους σφριγῶντας καὶ τὰ πρὸς μάχην ἐμπειροπολέμους φέροντας, καταφράκτους εἰς ἱκανὸν ἐλεπόλεις τε πρὸ τῆς πόλεως, μηχανάς τε καὶ πετροβόλων ἄλλων μυρίαν κατασκευὴν καὶ πυκναῖς ἐντεῦθεν πετροβολίαις τὴν πόλιν κατεχάλαζον καὶ ἔπαιον δεινῶς τὸ τῶν τειχέων καταμωλωπίζοντες πρόσωπον. Οὕτω σφοδρῶς ἐκ πετροβόλου, ὡς ἄν τις εἴποι, θυμοῦ τὰ τῆς πόλεως πυργώματα κατεσείετο καὶ πᾶς τις ἦν περιδεὴς καὶ ἀμηχανῶν | ὅτε καὶ τῶν ἄλλων πάντων ἡ πόλις ἀφέμενοι, μόνον τὴν μαρτυρικὴν ἐπικαλοῦνται βοήθειαν· καὶ ὁ ταχὺς εἰς ἐπικουρίαν, ἐγγύς· καὶ δὴ προσεχόντως ἀκούεται τὸ ἐξαίσιον τοῦ τερατουργήματος, ὡς χαριέστατον, ὡς δεξιᾷ Κυρίου ἁρμόδιον.

φ. 91

Κινεῖ τῶν πολιτῶν ὁ Μέγας ἕνα Δημήτριος εἰς ἀντιπαλάμησιν, ὡς οὕτως εἰπεῖν, ἀντιμέτωπον τοῦ κατὰ τῶν τειχέων ἀκοντιζομένου λίθου, κορυφῇ ἐοικότος ὄρους ἐκ τῆς πετροπομποῦ μηχανῆς καὶ μικρὸν χαλίκιον λαβόμενος ὁ ἀνήρ, κἀπὶ τούτου γράψας «ἐν τῷ ὀνόματι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἅγιε Δημήτριε βοήθει», ἅμα τῷ ἀποσφενδονισθῆναι τοῦ μηχανήματος λίθον ἐκεῖνον σχεδὸν τὸν μυριοτάλαντον κατὰ πρόσωπον τούτου τὸν λιθίσκον ἠκόντιζε τῇ χειρί, πανοπλίαν ἐνδεδυμένον ὄνομα τὸ τοῦ Μάρτυρος. Καὶ παραυτίκα, ὦ σου τῶν χαρίτων καὶ τῆς δυνάμεως Χριστὲ Βασιλεῦ, δι' ὧν τοὺς σοὺς θεράποντας ἐμεγάλυνας, τουτὶ τὸ λιθίδιον, ἀντικρὺ καί, ὡς ἄν τις εἴποι, κατὰ γραμμὴν εὐθυτάτην τὸν βαρὺν ἐκεῖνον λίθον τῶν καθ' ἡμῶν πολλῷ τῷ ῥοίζῳ φερόμενον ἀντέπληττε καὶ πρὸς τοὐπίσω

ἀντεκίνει σφοδρῶς, ὑπὸ τῆς τοῦ Μεγάλου δυνάμεως ἐμπνεόμενον καὶ πίπτων λίθος ἐκεῖνος ὁ ἁμαξοπληθὴς κατέκλα τὸ πετροβόλον μηχάνημα.

Ἐπεὶ δὲ καὶ αὖθις τὸ θαυμάσιον τοῦτο καὶ πάλιν καὶ πολλάκις καὶ ὁ πόνος τοῖς βαρβάροις εἰς τὰς σφῶν ἐτρέπετο κεφαλὰς καὶ ἠπράκτουν αὐτῶν τὰ βουλεύματα, ὁρῶσι τοὺς ἀκοντιζομένους λίθους ἐκ τῶν ἐπάλξεων, εἰς χεῖρας λαμβάνουσιν, ὁρῶσι τὰ γράμματα, πολυπραγμονοῦσι, μανθάνουσι τῶν γεγραμμένων τὴν δύναμιν, πρός τινος εἰδότος γράμματα τῶν αἰχμαλωτισθέντων αὐτοῖς ἐκ τῶν ἔξωθεν, κατανοοῦσι τὸ πρᾶγμα, ἐκπλήττονται, θαυμάζουσι τὴν τοῦ Μεγάλου ἰσχύν, ὅση ἐκ μόνης τῆς ἐπικλήσεως τοῦ ὀνόματος, παύονται τῆς πολιορκίας ἐπὶ βραχύ.

24. Μετὰ δὲ καὶ αὖθις ὁμοῦ τὰ πλήθη πάντα τῆς ἀναριθμήτου στρατιᾶς ἐκείνης κατὰ τῆς πόλεως ὁρμῆσαι βουλεύονται· καὶ παραυτὰ στρατεύματα ὅτι πλεῖστα ὁ Μέγας οὗτος φαντασιοῖ, ὡς δῆθεν κατ᾽ αὐτῶν τῆς πόλεως ἐξερχόμενα καὶ πᾶσαν εὐθέως λιπόντες ἀποσκευὴν αὐταῖς σκηναῖς, αὐταῖς πανοπλίαις, κατὰ κράτος μηδενὸς διώκοντος φεύγουσι καὶ ἡ πόλις τοῦ πολέμου καὶ τῆς φρικτῆς ἐκείνης πολιορκίας καὶ τοῦ τῶν | ἐθνῶν χειμῶνος ρυσθέντες φ.91ᵛ ἐνεαρίζουσιν, αἰθριάζουσι, πανηγυρίζουσι, τὰ χαριστήρια τῷ Μάρτυρι ἑορτάζουσιν.

Εἰς νοῦν λαμβάνω τὸ κατὰ Ἰησοῦν τοῦ Ναυῆ στρατηγοῦντα πάλαι τοῦ Ἰσραὴλ ἐπὶ τὸν ἥλιον θαυματούργημα· ὡς γὰρ ἐκεῖνο τὸ ῥῆμα τοῦ δρόμου τὸν ἥλιον ἔστησεν, οὕτω δὴ κἀνταῦθα στρατηγοῦντος τοῦ Μάρτυρος ἐπὶ τῷ νέῳ ἡμῶν Ἰσραὴλ ἐπίκλησις μόνη τοῦ αὐτοῦ θείου ὀνόματος, τὴν ἄσχετον τῶν μεγάλων ἐκείνων λίθων κίνησιν τειχοσείστριαν ἔστησε τῆς πρόσω φορᾶς· μᾶλλον μὲν οὖν ἐκείνου, τόδε θαυμασιώτερον. Ἐκεῖ μὲν γὰρ πρὸς μόνην τοῦ ἡλίου στάσιν τὸ ῥῆμα ἐξήρκεσεν· ἐνταῦθα δὲ ἡ τοῦ Δημητριακοῦ ὀνόματος δύναμις καὶ ἵστησι τοὺς λίθους καὶ πρὸς τοὐπίσω ἀντεσφενδόνα καὶ πρὸς αὐτὰ τῶν βαρβάρων τὰ μηχανήματα, τὴν αὐτὴν ὁδὸν ἀντιδιώκουσα, ὥσπερ κατέβαλεν. Εἶχε μὲν οὖν ὁ μέγας Στρατηγέτης ἡμῶν καὶ ἄλλως τὸ βάρβαρον μετελθεῖν καὶ δειλίαν μὲν τοῖς ἐχθροῖς, θράσος δὲ καὶ μένος τῷ οἰκείῳ λαῷ ἐμβαλεῖν καὶ κατακάψαι καὶ προνομῆσαι πᾶν τὸ ἀντίμαχον. Ἀλλ᾽ οὕτω τυχὸν ἔδοξε τὸ γενόμενον, οὐ θαῦμα τοῦ μάρτυρος, ἀλλὰ πολέμου, ὡς ἄν τις εἴποι, κίνησις φυσικὴ ἀλλοπρόσαλλος· τὸ δὲ τοῦ λίθου θαυμάσιον ὑπὲρ φύσιν καὶ γνῶσιν καὶ πᾶσαν ἔννοιαν καὶ τεράστιον. Οὕτω καὶ πάλαι ἐστρατοπεδευκότος Σεναχηρεὶμ τῇ Ἱερουσαλήμ, ἄγγελος ἐν μιᾷ νυκτὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τοῦ στρατεύματος τῶν Ἀσσυρίων ἐνέκρωσεν, ἔργον μόνης τῆς ἄνω δυνάμεως. Τί γὰρ τόσον τὸ θαῦμα ἦν; εἰ γεγονότες πρὸς συμπλοκὴν καὶ τραπέντες οἷα φιλεῖ γίνεσθαι, τοσοῦτον πλῆθος ἔπεσον ρομφαίᾳ πολεμικῇ; Ἐπεὶ οὖν οὕτω διήνυσται τῷ Μάρτυρι κατ᾽ ἐχθρῶν τὸ παγκράτιον, φέρε δὴ καὶ πάλιν ἠμφιεσμένον θεασόμεθα τοῦτον στολὴν ἐκδικήσεως· δοῦναι γὰρ σιωπῇ τὸ θαῦμα κομιδῇ σχέτλιον καὶ δούλου

πονηροῦ καταχωννύντος τὸ τάλαντον. Καὶ δὴ καταβάλωμεν τοῖς καλοῖς ἡμῖν τραπεζίταις ὡς ἐκ γλωσσοκόμου τῆς ἱστορίας τοῦ λόγου τὸ κέρμα τοῦτο τοῦ θαύματος, τὸ δάνειον σὺν τόκῳ ληψόμενον ἐκ μαρτυρικῆς τῆς γάζης, τῆς ἐκ Θεοῦ θησαυρισθείσης αὐτῇ χάριτος. Οὐ συνεστάλη τῷ Μεγάλῳ τοῦ Χριστοῦ
5 Στρατηγέτῃ τὰ τῶν θαυμάτων χαρίσματα, οὐδὲ τόπῳ ἐμπεριγέγραπται, οὐδὲ μέχρι τῆς αὐτοῦ πόλεως ἀπεφένωται, ἀλλὰ φθάνει πᾶσαν τὴν γῆν ἐκ περά-
φ. 92 των εἰς | πέρατα· εἰ δὲ μέχρι τῶν τερμάτων ἡ ταχύτης τῷ μάρτυρι ἰατρεύοντι, ἐλευθεροῦντι, ὑπερασπίζοντι, λυτρουμένῳ παντοδαπῶν πειρασμῶν, πολλῷ μᾶλλον τῆς ἐν γειτόνων αὐτῷ ταχινὴ ἡ ἐκδίκησις καὶ τοῦ λυποῦντος ἡ ἀπο-
10 λύτρωσις, ὁπόσοι τῶν προαυλίων αὐτοῦ καὶ ὅσοι τῆς περιχώρου.

ΙΔ΄. 25. Ἐκράτει Βουλγάρων πρῴην καὶ οὐ πάνυ τοι πρῴην Σαμουὴλ ἐκεῖνος ὁ μέχρι τοῦ δεῦρο τοῖς τῶν Βουλγάρων περιλαλούμενος στόμασιν. Οὗτος σὺν τοῖς ἄλλοις καὶ τὸ πρὸς ἑσπέραν τῆς τῶν Θεσσαλονικέων ἅπαν βουλγαρικὸν ὁμοῦ καὶ ρωμαϊκὸν χειρωσάμενος, ἰσχυρῶς ἐτυράννει στρατηγε-
15 τῶν. Τῷ δὲ παῖς ἐξ ὀσφύος γεγένητο, ὄνομα τούτῳ Ραδομίρος, τὰ δεύτερα φέρων τῆς τούτου δυνάμεως, ἀνὴρ θηριώδης εἰπεῖν τὸ ὅλον καὶ μανικός, φόνιος τὴν γνώμην, τὸν τρόπον φθορεύς, τὴν ψυχὴν ἀπηνέστατος, συνάντημα ἀπευκταῖον τοῖς ἐντυγχάνουσιν, κακὸς οἰωνὸς τοῖς ἐγγίζουσιν, ᾅδου πρόσπολος ἄντικρυς βραχύ τι ἠλαττωμένος παρὰ τοὺς δαίμονας, μιαρὸς καὶ μια-
20 ρώτατος καὶ παμμίαρος. Οὗτος πλείστων χωρῶν τε καὶ θεμάτων ἀρχηγετῶν, οὐκ ἔστιν εἰπεῖν ὅσην καθ᾽ ἡμέραν ἐπῆγε τὴν κάκωσιν, ἁρπάζων, μαστίζων, παρθένων καθυβρίζων αἰδῶ, λέχη καθαρπάζων ἀλλότρια, τιμωρῶν, θανατῶν, κορύνην φέρων ὅσην χεροῖν καὶ πλήττων ἀφειδῶς καὶ καθ᾽ ὥραν πληγῆς ἐκ μιᾶς τῷ πληττομένῳ κεραννύς, θάνατον πορφύρεσιν ἄντικρυς. Καὶ
25 πᾶσι μὲν τοῖς ὑπὸ χεῖρα δεινὸς καὶ λίαν δεινός, Ἐχέτου δεινότερος καὶ Φαλάριδος, κατ᾽ ἐξαίρετον δέ, οἷς ὁ χῶρος Σοσκός, ἔκ τινος δὲ οὕτω παλαιτάτου οἰκήτορος ἐπωνόμαστο, ἐπὶ τῷ χώρῳ τούτῳ τὸ τοῦ χρόνου πλεῖστον ὑπῆρχεν ἐνευκαιρῶν τῆς ἐκ τοῦ τόπου χάριν ἱκανῆς ἀπολαύσεως καὶ τῆς ἀνὰ τοὺς ξυλόχους θήρας λοιπῆς.

30 Τῷ χώρῳ τούτῳ τοίνυν χρονίζων ὁ ἀνθρωπόμορφος οὗτος θὴρ διεσπάραττε πάντας καὶ διεβύσκετο. Θρῆνος ἦν αὐτοῖς καὶ ὀδυρμὸς καὶ οὐαί, καὶ φωνὴ αἱμάτων ἐκεῖθεν, ἃ καθ᾽ ἡμέραν ἐξέχεεν, ἐπεβοᾶτο τῷ μάρτυρι καὶ τὴν ἐκδίκησιν ἐζήτουν καὶ ταχεῖαν τοῦ λυποῦντος τὴν ἀπολύτρωσιν. Ὁ δέ, καὶ δὴ πολλάκις ἐπικαλουμένους αὐτοὺς ἀκούων ὄνομα τὸ τοῦ Μάρτυρος,
φ.92' κατεγέλα | μὲν αὐτοῦ καὶ ἐξεμυκτήριζεν, ἐπέτεινε δὲ μᾶλλον αὐτοῖς τὰς πληγάς· «ἴδω, λέγων, εἰ ἔρχεται Δημήτριος ἐκ τῶν χειρῶν μου σώσων αὐτούς».

Τί οὖν; κάμπτεται ὁ συμπαθὴς καὶ Μέγας Δημήτριος.

Ἀνίσταται ἕνεκεν τῆς τῶν πεπεδημένων φωνῆς καὶ τοῦ τῶν πτωχῶν στεναγμοῦ καὶ τῆς οἰκείας ποίμνης τῆσδε ἀπαναστὰς εἰς σωτηρίαν λαοῦ ἐξε-

λήλυθεν, ἐκεῖνο δὴ τὸ Κυριακὸν παραλλὰξ ἐπειπών· « καὶ ἄλλα πρόβατα τῶν προαυλίων μου καὶ ταῦτα με δεῖ ἐπισκέψασθαι ». Καὶ ὁ μὲν τὸν συντετριμμένον ἐκεῖνον καὶ ἐκπεπιεσμένον λαὸν πρὸς κυνηγέσια ἐπηγάζετο καὶ πρὸς ὀρῶν ἐσχατιὰς καὶ νάπας καὶ ἐπαναστάσεις βαίνειν πεζῇ τὸν ταλαίπωρον ἐκεῖνον ὄχλον διεκελεύετο καὶ κρημνῶν ἀπειλητικῶς ἐκίνει κατατολμᾶν καὶ εἰ μὴ ποσὶν οἰκείοις ὁ διώκων φθάσοι τὸ θήραμα, κατὰ κεφαλῆς αὐτῷ παραυτὰ ἡ πληγὴ καὶ νεκρὸς ἀνὰ μέσον ἔκειτο τῶν ὀρῶν. Καὶ ὁ μὲν ἀπηνῶς οὕτως καὶ ἀπανθρώπως ἐμάστιζεν· ὁ δὲ ταχὺς εἰς ἀντίληψιν καὶ ὀξὺς εἰς ἐπικουρίαν Μέγας Δημήτριος, φθάνει τὸν κάκιστον ὅσα καὶ ἀστραπὴ ἀνὰ μέσον ὀρῶν κυνηγετοῦντα καὶ ἱππαζόμενον, ἔφιππον, ἔφιππος, καὶ καιρίαν πλήττει τὸν δείλαιον, τοῦ ἵππου μακρὰν ἀποσφαιρισάμενος. Ἑώρων τὸν Μέγαν εἰς τοὐμφανὲς οἱ τῷ Ραδομίρῳ ἐφεπόμενοι, ὅπως αὐτὸν σφοδρᾷ τῇ ρύμῃ καὶ ἐπέβη καὶ λόγχῃ κατέσφαξε. Καὶ ὁ Μάρτυς μὲν παραυτὰ ἀφανής, ὁ δὲ νεκροῦται παραχρῆμα καὶ παρὰ τὸν Ἅδην τὰ ὀστᾶ διεσκόρπισται καὶ ὁ καταπεπονημένος ἐκεῖνος ἅπας λαὸς ἑώρταζον τῷ Μεγάλῳ τὰ ρύσια.

ΙΕ΄. 26. Ἄθρει δή μοι καὶ πάλιν ἐθνῶν πανσπερμίαν τὴν καθ' ἡμῶν ὀργῶσαν καὶ αὖθις ἐπικουρίαν μαρτυρικήν· Ρυγχῖνοι, Στρυμόνιοί τε καὶ Σαγουδάτιοι, ἔθνη ὅμορα σκυθικά τε καὶ σκλαβινίσια, θηριώδη καὶ βάρβαρα· ἀρχηγὸς αὐτοῖς ἀνήρ τις ὁμότροπος, Περβοῦντος τούτῳ τὸ ὄνομα. Οὗτος τῷ τότε αὐτοκράτορι, Λέων οὗτος ὁ ὑψηλὸς τοὺς λόγους καὶ τὴν σοφίαν ὑπέρτατος, εἰρηνικὰς ἔχων ὡς ἐδόκει καταλλαγάς, μάχην ἄλλως ὤδινεν καθ' ἡμῶν καὶ καιρὸν ἐζήτει κατὰ Ρωμαίων πολέμου ἄρασθαι. Φωρᾶται γοῦν καὶ τῷ κρατοῦντι, ζωγρεῖται, δεσμεῖται, δραπετεύει καὶ αὖθις ἁλίσκεται· καὶ πᾶσαν | ἐξαγορεύει τὴν μελετωμένην αὐτῷ μανίαν τὴν καθ' ἡμῶν, φ. 93
ὡς δι' ὅρκου τούτῳ, μήποτε παύσασθαι τὴν Ρωμαΐδα λεηλατεῖν, ἀλλὰ κτείνειν ἀφειδῶς ρωμαῖον πάντα τὸν εἰς χεῖρας ἐμπεσόντα αὐτοῦ καὶ μὴ φείδεσθαι· ἐντεῦθεν καὶ τὸ τέλος τῆς ἑαυτοῦ κακίας ἄξιον ἤρατο. Ἀναφλέγονται γοῦν πρὸς μανίαν Ρωμαίοις ἔθνη τὰ βάρβαρα καὶ καθ' ἡμῶν πονηρὰν διαθήκην διέθεντο καὶ κατὰ τῆς κληρονομίας ταύτης τοῦ μάρτυρος παμπληθεὶ ἐκστρατεύουσι· καὶ δὴ μερίζονται Στρυμόνιοι μὲν πρὸς αἰχμαλωσίαν τῶν τε πρὸς ἓν καὶ πρὸς ἄρητον τῆς πόλεως, Ρυγχῖνοι δ' αὖθις καὶ Σαγουδάτιοι τῶν πρὸς δύσιν καὶ θάλασσαν. Καὶ ἦν ἁπανταχῇ τὸ δεινὸν καὶ κατὰ τὸν εἰπόντα « πάντῃ κακὸν κακῷ ἐπεστήρικτο »· τὰ γὰρ τῆς αἰχμαλωσίας καὶ λαφυραγωγίας τῆς πόλεως εἰς δύο ἐπεκράτει πληρεστάτους ἐνιαυτούς.

Λιμὸς ἐντεῦθεν δεινὸς τὴν πόλιν περιεβόσκετο καὶ κάμινος ἀνῆπτο τῶν συμφορῶν, Θεοῦ ἀγανακτοῦντος ἐπὶ ταῖς ἀφροσύναις ἡμῶν, κἀντεῦθεν πρὸς ἐπικουρίαν ἀπονυστάζοντος καὶ τοῦ μάρτυρος διὰ πλῆθος ἁμαρτιῶν, κάμινος κάτω βαρβαρικὴ πυρπολοῦσα καὶ ἀφανίζουσα, κάμινος ἄνω ὑπὲρ κεφαλὴν ἡμῶν ἀποχαλκευθέντος ὥσπερ τοῦ οὐρανοῦ κατὰ τὴν προφητικὴν ἀρὰν καὶ

πρὸς ὑετοῦ τοκετὸν ἀποστειρωθέντος τὸ παράπαν καὶ ἀσθενήσαντος, ἐξέλιπον οὖν τὰ ὡραῖα πάντα τῆς γῆς καὶ τὰ χλωρὰ τοῦ ἀγροῦ κατεξήρανται, οὐ σῖτος ἦν, οὐκ οἶνος, οὐκ ἔλαιον, σπέρματα πάντα, χόρτος, βοτάναι, κυήματα γῆς οὐδαμοῦ, κυνῶν ἐντεῦθεν καὶ μυῶν καὶ ὄνων καὶ κροκοδείλων τοῖς
5 ἀθλίοις τοῦ λιμοῦ τραυματίαις ἀπόγευσις. Καὶ ἦν ἰδεῖν τοὺς τῆς πόλεως τότε πάντας οἰκήτορας οὐκ ἔχοντας εἶδος, οὐ κάλλος, ἀλλ' ἐκλείποντας ἤδη καὶ εἰς χρῶμα τὸ θάψινον ὥσπερ ἀθλίως τὴν μορφὴν χρωματεύοντας· εἰ δέ που καὶ πυλῶν μικρὸνπροκύψειαν τῶν τῆς πόλεως βοτάνης, μαλάχης τυχὸν ἢ κνίδης ἢ καὶ ἄλλης ἥστινοσοῦν ὡς τευξόμενοι δεῖπνον ἄθλιον, παρευθὺ τῆς
10 τῶν βαρβάρων ξίφεσιν ἐχρημάτιζον· καὶ ἦν αὐτοῖς τὸ τοῦ Ὠσκὲ μετ' οἰμωγῆς ὑπᾳδόμενον «τὰ ὄρη πέσετε ἐφ' ἡμᾶς καὶ οἱ βουνοὶ καλύψατε ἡμᾶς».
φ.93' Ἐπεὶ δὲ καὶ τῷ λιμῷ καὶ τῇ τῶν βαρβάρων πολιορκίᾳ | πλῆθος ἅπαν οὕτω καταδεδάμασται, ὡσεὶ τραυματίαι ἦσαν ἐν τάφῳ καθεύδοντες καὶ ὡσεὶ ἄνθρωποι ἀβοήθητοι, οἱ βάρβαροι δὲ οὐκ ἠμέλουν, ἀλλ' ὅπλα τούτοις καὶ πυ-
15 κνοὶ πετροβολισμοὶ ἐξηρτύοντο καὶ πολέμου ἅπαν μηχάνημα.

Ὡς γοῦν ἤδη ἐπὶ ξηροῦ τῇ πόλει τὰ πράγματα καὶ ἐπὶ θύραις αὐτῆς ἡ ἀπώλεια, ἐκ βάθους καρδίας, ἐν ὀδύνῃ ψυχῆς πρὸς τὸν Θεὸν ἐκεκράγεισαν: «σῶσον ὁ Θεὸς τὸν λαόν σου τὸν ἁμαρτωλόν· σῶσον δι' οἰκείαν χρηστότητα· ἐπάκουσον τῶν ὑπὲρ ἡμῶν τοῦ ἀθλητοῦ σου Δημητρίου δεήσεων
20 καὶ μὴ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλὰ ποίησον ἔλεος μετὰ τῆς ἡμῶν ταπεινότητος καὶ μὴ δῷς ἡμᾶς εἰς θήραν τῶν ἀνημέρων τούτων θηρῶν». Ἀκούει Θεὸς εὐσπλάγχνως αὐτῶν καὶ ἰδοὺ ὁ μέγας Δημήτριος ταχινώτατος πρόμαχος· ἐπεὶ γὰρ πρὸς πολιορκίαν οἱ βάρβαροι τὴν πόλιν πᾶσαν περιεστοίχισαν καὶ τὸ πρὸς βορρᾶν τῆς πόλεως πυρπολήσαντες παραπύλιον, κατὰ
25 πᾶσαν ἄδειαν τῇ πόλει, ἔβαλλεν, ἔπαιε, τοὺς μὲν ἐτραυμάτιζε, τοὺς δὲ ἐνέκρου εἰς τέλεον «κακῶς, λέγων, ὁ Θεὸς ὧδε αὐτοὺς ἤγαγεν· εἰ οὕτως ὑμεῖς, λοιπὸν ἐγὼ τί ποιῶ ὧδε». Πίπτουσι γοῦν αὐτίκα τότε τῇ ρομφαίᾳ τοῦ μάρτυρος τῶν βαρβάρων ὅσον ἀπόλεκτον, οἱ δ' ἄλλοι ὑποχωροῦσι τῆς πόλεως, τραυματίαι οἱ πλεῖστοι, τοὺς πεσόντας θρηνοῦντες, τῇ ἑαυτῶν ἥττῃ ἐπιστυ-
30 γνάζοντες. Τότε δὴ τότε οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν καὶ οἱ νεκροὶ τῇ προθυμίᾳ ἀνίσταντο καὶ διώκουσι μὲν τοὺς βαρβάρους μέχρι τινός, λαμβάνουσι δὲ καὶ τὰ τούτοις σκευασθέντα τειχομάχα ξύλα μετὰ καὶ ἄλλης πλείστης τούτων ἀποσκευῆς ἁρμάτων καὶ ὅπλων καὶ ἱκανῶν χορτασμάτων, Θεῷ καὶ τῷ μάρτυρι ὑμνοῦντες τὰ νικητήρια.

35 27. Αὖθις τὸ βάρβαρον ἅπαν εἰς ἓν συναθροίζεται· βουλεύονται καὶ ἔτι πολιορκίαν καὶ μάχας καὶ πολέμους ὠδίνουσι, τρίζοντες τοὺς ὀδόντας, ἀπειλοῦντες, φόνιον πνέοντες. Καὶ ἄλλος μὲν ἄλλο τι ὥσπερ φιλοτιμούμενος τῶν ὅσα δῆτα πρὸς νίκην βλέπει, ἐξηύρισκέ τε καὶ ἐβουλεύετο, ἀλλ' ἀνίσταται
φ. 94 ἀνήρ τις τῶν πάντων μέσων μηχανικώτατος καὶ πρὸς | εὕρεσιν καινὴν ἐλε-
40 πόλεων ὡς λίαν δαιμόνιον· οὗτος καθυπισχνεῖται μηχάνημά τι στῆσαι, δι' οὗ

τὴν πόλιν ῥαδίως πορθήσαιεν. Καὶ ὁ μὲν οὕτως· οἱ βάρβαροι δὲ διηπίστουν καὶ οὗτος αὖθις διεβεβαιοῦτο καὶ τὸ μηχάνημα διέγραφε κατὰ γῆν, ὅπως αὐτὸ σκευασθείη μεγέθους καὶ σχήματος. Τὸ δὲ μελετώμενον ἦν, πύργον στῆσαι ἐκ ξύλων ἐπὶ τροχῶν ἐπὶ μετεώρου ὅτι λίαν ὑψούμενον, διώροφά τε καὶ τριώροφα ἐπὶ τούτῳ διεσκευάσθαι ἐπάλξεις ἄνωθεν, κἀπὶ τῷ πύργῳ 5 προπύργια ἐκκρεμῆ, σιδηρόδετα, τάξαι τε τοξότας, ἀκοντιστάς, σφενδονήτας ἐπὶ τῷ μηχανήματι καὶ τὴν μάχην τοῦ πολέμου θέσθαι τριπλῆν, ἀπὸ μὲν τῆς ἄνωθεν ὀροφῆς τοῦ πυργήματος σφενδονήτας στῆσαι καὶ τοὺς ἀκοντιστάς, τοὺς δὲ τοξότας ταῖς κατωτέρω δυσὶν ὀροφαῖς. Καὶ ἦν ἰδεῖν τοῖς βαρβάροις μία πρὸς τὴν κατασκευὴν τοῦ μηχανήματος σύμπνοια. 10

Ἀλλὰ καὶ πάλιν ὁ μέγας πολιοῦχος ἡμῶν τοῖς βαρβάροις φαίνεται ταχινώτατος καὶ τὸν τοῦ μηχανήματος ἀρχιτέκτονα ῥαπίζει κατὰ τῆς ὄψεως καὶ παραυτίκα ἔκφρων ὁ βάρβαρος τοὺς συμφελέτας φεύγων πολεμίους ὥσπερ τινάς. Καὶ οἱ μὲν μετεκαλοῦντο τοῦτον καὶ πρὸς τὴν τοῦ ἔργου κατασκευὴν προετρέποντο, ὁ δὲ καὶ οὕτως ἀπεπήδα τούτων καὶ παρακεκομμένα 15 ἐφθέγγετο καὶ ἦν ἐφ' ἱκανὸν ἀχίτων περιπλανώμενος ἐν τοῖς ὄρεσιν ἀγρίου δίκην θηρός, φεύγων πάντας καὶ ἐγκρυπτόμενος, ὡς ἐντεῦθεν ἀπρακτῆσαι τοῖς βαρβάροις μηχάνημα ἐκεῖνο τὸ μελετώμενον. Ἐπεὶ δὲ καὶ οἱ βάρβαροι κακῶς τῆς πόλεως ὑπεχώρησαν, στρατεύμασι κατακοπέντες μεθύστερον τοῖς Ρωμαϊκοῖς στρατηγετοῦντος τοῦ μάρτυρος καὶ ἡ πόλις τῆς δεινῆς ἐκείνης πολιορ- 20 κίας ἐλώφησε, συγγινώσκεται καὶ ὁ ἔκφρων οὗτος μηχανουργὸς πρὸς τοῦ μάρτυρος καὶ τῶν οἰκείων αὖθις φρενῶν γεγονώς, εἴσεισι τῇ πόλει καὶ τὴν κατ' ὄψιν αὐτοῦ πληγὴν διηγεῖται τοῦ μάρτυρος, ὅπως νεανίας ὀφθείη τούτῳ ἀέριος, ὡς πλήξειε κατὰ σιαγόνος αὐτὸν καὶ ἔκφρονα θείη καὶ ὡς φανείη πάλιν αὐτῷ πλανωμένῳ ἐν ὄρεσι καὶ εἰσελθεῖν εἰς τὴν πόλιν προτρέψαιτο· 25 καὶ τὸν Μέγαν ἰδὼν εἰκονογραφούμενον, αὐτὸν ἐκεῖνον τὸν ῥαπίσαντα εἶναι ὑπανεγίνωσκε· καὶ σημειωθεὶς | τῷ θείῳ βαπτίσματι, πρόβατον ἐκ λύκου φ.94ᵛ τῆς τοῦ μάρτυρος μάνδρας καὶ οὗτος γεγένηται.

ΙΣΤ'. 28. Τοῖς δὲ τυφλώττουσιν, ἀλλὰ καὶ τούτους μὴ πρὸς ἴασιν ὁ Μέγας μέλλει Δημήτριος καὶ ὑπερτίθεται αὐτοῖς τὴν ἀνάβλεψιν; καὶ ποῦ 30 τοῦτο τῆς συμπαθεστάτης εὐμενείας τοῦ μάρτυρος καὶ δηλώσει τὰ ῥηθησόμενα.

Ἀνήρ τις πάλαι τῆς πόλεως ταύτης πρὸς τὴν Βυζαντίδα κατά τινα χρείαν ἀφορμηθείς, νόσῳ περιεπεπτώκει δεινῇ· ἐκ δὲ τῆς, καὶ ῥεῦμα τοῖς ὀφθαλμοῖς ἐμπίπτει δριμὺ καὶ τοὺς σωματικοὺς φωστῆρας ἠμαύρωσε. Καὶ τῆς μὲν νόσου ἀπαλλαγείς, ῥᾴων ἦν, τῆς δὲ τυφλώσεως ἄθλιος τὸ 35 παράπαν καὶ ἀνενέργητος. Περιῄει οὖν λίθους προσπταίων, πόδας τοῖς προσκρούσμασι τριβόμενος καὶ θεραπεία τούτῳ ἦν οὐδαμοῦ, εἰς νοῦν λαμβάνει τὸν Μέγαν Δημήτριον καὶ τὴν ἰατρείαν ἐζήτει καὶ ἀντιβολῶν οὐκ ἐπαύετο καὶ «εἴθε τῇ ἐμῇ πατρίδι Θεσσαλονίκῃ παρῆν καὶ τὸν Μέγαν εἶχον

ἐκεῖσε προσλιπαρεῖν ἀθλητήν, ἐβόα, καὶ τῆς ἀφέσεως ἂν οὐκ ἀπέτυχον». Ἀλλὰ φθάνει κἀκεῖ ὁ ζητούμενος αὐτῷ ἰατρὸς καὶ ὁ καλὸς ποιμὴν καὶ προστάτης ταχύνει τὸ τῆς οἰκείας μόνδρας ἐπισκέψασθαι πρόβατον καὶ ὁ καλὸς τῆς Θεσσαλονίκης οἰκοδεσπότης τὴν ἀπολωλυῖαν ἀνευρέσθαι τρέχει δραχμήν, καὶ «ἵνα τί, φησιν, ὀλιγόπιστος, ὦ ἄνθρωπε εἶ καὶ μόνον ἐν τῇ πατρίδι οἴει με φθάνεις καλούμενον; ἀλλὰ μὴ καὶ πόρρω καὶ πανταχοῦ; ἀνάστα καὶ τῷ εὐκτηρίῳ οἴκῳ γενόμενος τῆς Πανάγνου καὶ Θεομήτορος, Οἰκονομεῖον τῷ τόπῳ τὸ ὄνομα, ἔνδον εὑρήσεις με καὶ ὀφθήσομαί σοι καὶ ἔσῃ παραχρῆμα βλέπων τὸ φῶς». Ἔξυπνος ὁ ἄνθρωπος παραυτίκα γενόμενος, ἀνίσταται, τρέχει, τὸν θεῖον οἶκον ἐκεῖνον τῆς Πανάγνου ἀνερευνᾷ, εὑρίσκει, εἴσεισι τῷ ναῷ, ἐρωτᾷ ποῦ ὁ Μέγας Δημήτριος· ἀκούει, ἰδοὺ εἰκὼν ἡ θεία τοῦ Μάρτυρος (ἦν δὲ ἐκ ψηφίδων συγκειμένη φιλοτέχνως εὖ μάλα καὶ ἄριστα), πίπτει τῆς εἰκόνος ἔμπροσθεν ὁ τυφλὸς δάκρυσιν ὅτι πλείστοις περιρρεόμενος, «οὐ παύσομαι προκυλινδεῖσθαι τῶν σῶν ἁγίων ἰχνῶν, ἕως ὅτου ὁ Μέγας καὶ μάρτυς ἰατρὸς τοὺς ὀφθαλμοὺς θεραπεύσεις μοι, ὡς ἴδω σου τὴν θείαν μορφὴν καὶ εὐπρέπειαν».

Νὺξ ἤδη παρῆν καὶ ἰδοὺ τῷ πάσχοντι ὁ Μάρτυς καὶ ἰατρὸς καὶ τοῖς δακτύλοις τοὺς νενοσηκότας ἥψατο ὀφθαλμοὺς καὶ ἠρέμα πως διανοίγει καὶ λήμην ἐκεῖθεν, ὡς ἐδόκει, περιαιρεῖ· εἶθ' οὕτω πιέζει σφοδρότερον, ὡς ὀδυ-
φ. 95 νηθῆναι καὶ ἀφυπνισθῆναι τὸν | πάσχοντα καὶ ἀκοῦσαι παρὰ τοῦ Μάρτυρος: «οὐδὲ νῦν εἰσέτι ὁρᾷς με; οὐχ ὁρᾷς με τὸν ἰατρόν; οὐχ ὁρᾷς τὸν θεραπευτήν;» Ὁ δὲ καὶ ἀνεπήδησε τάχιον καὶ τοὺς ὀφθαλμοὺς ἐπάρας τῇ εἰκόνι τοῦ μάρτυρος «ὁρῶ σε, ἔφη, τὸν μέγαν μοι ἰατρόν· ὁρῶ σε τὸν μάρτυρα τοῦ Χριστοῦ· ὁρῶ τὴν σεβαστὴν καὶ θείαν καὶ γλυκεῖαν εἰκόνα σου καὶ πολλὴν τὴν εὐχαριστίαν προσάγω σοι, ὅτι ἔστησάς μοι ἐν εὐρυχώρῳ τοὺς πόδας καὶ τὰ διαβήματά μου κατεύθυνας· ὅτι ἐρρύσω τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος».

ΙΖ'. 29. Ἀνήρ τις ἕτερος, πόλεως τῆς Ἀδριανοῦ ἐξορμώμενος καὶ οὗτος, πυροῦται τοὺς ὀφθαλμοὺς καὶ προσδραμεῖν ἐπὶ θεραπείᾳ τῷ Μεγάλῳ διανενόηται. Καὶ δὴ ὁ μὲν πρὸς ὁδοιπορίαν ἦν εὐτρεπής, οἷς δὲ οἰκεῖος πρὸς γένος ἦν ὁ ἀνὴρ τὴν ὁδοιπορίαν ὡς μακράν, ὡς δυσχερῆ καὶ ταῦτα πεζῷ καὶ τυφλώττοντι ἀπηγόρευον· ὁ δέ, «ἀλλ' εἰ καὶ εἰς δύο ὅλους ἔφη ἐνιαυτοὺς παραταθῇ τὰ τῆς ὁδοιπορίας μοι, οὐ παύσομαι ἕως εὑρήσω μοι τὸν ζητούμενον ἰατρόν, τὸν Μέγαν Δημήτριον». Ἅπτεται τῆς ὁδοῦ, διανύει δρόμον εἰς ὅλας ἡμέρας δύο, τυφλῷ ποδὶ ἀθλίως περιπλανώμενος, βιαζόμενος, προσκρούων τοῖς λίθοις, πυκνὰ διολισθαίνων καὶ πολὺν ὅτι φέρων τὸν κάματον. Βλέπει τοῦτον ὁ Μέγας μακρόθεν, κάμπτεται τῇ συμφορᾷ τοῦ ἀνδρός, ὁ συμπαθὴς τὰ πάντα Δημήτριος, τῆς πίστεως ἀποδέχεται καὶ καθ' ὁδὸν ἔφιππος συνοδεύει τῷ πεπυρωμένῳ τούτῳ ἀνδρί, ἐρωτᾷ καὶ μὴ ἀγνοῶν ὅπῃ

πορεύεται οὕτω μόνος, οὕτω σκοτεινὸς καὶ πλήρης πάσης ἐλεεινότητος, ἀκούει: «πρὸς τὸν τοῦ Μεγάλου Δημητρίου θεῖον τάφον, ὡς ἀναβλέψειεν». «Ἀλλὰ πολύς σοι, φησίν, ὁ δρόμος τῆς προκειμένης ὁδοιπορίας καὶ δυσχερής». Αὖθις τὸ καὶ πρῴην ρηθὲν «ἀλλ' εἰ καὶ εἰς δύο ὅλους ἐνιαυτούς, φησίν, οὕτω ταλαιπωρήσαιμι, οὐ στήσομαι, μέχρις ὅτου ἐκεῖσε γένωμαι». «Ἀλλ' ἄγε δή, φησιν, ὁ Μέγας καὶ μικρόν σε τῷ ἵππῳ τῷδε διαναπαύσομαι». Λαμβάνει τοῦτον ἐπὶ τοῦ ἵππου καὶ αὐθημερὸν μέσον τοῦ θείου τεμένους τούτου ἐντίθησι τὸν τυφλόν. Ὁ δὲ μὴ γνοὺς τὸ θαυμάσιον καὶ ὅπῃ παρῇ, τοῖς ἐν τῷ ναῷ τοῦ Μεγάλου εἰσιοῦσι καὶ ἐξιοῦσι δήμοις πολλοῖς συνωθούμενος (ἦν γὰρ ἡμέρα τότε καθ' ἣν πανηγυρίζομεν τῷ μάρτυρι τὸ μαρτύριον), ἐδόκει ὡς ἐξαπατηθείη πρὸς τοῦ συνοδοιπορήσαντος | τούτῳ ἱππότῃ, φ.95' καὶ αὖθις ἀναπερρίφθαι τῇ τῆς Ἀδριανουπόλεως ἀγορᾷ καὶ τὰ περὶ τούτου ἐβόα, μεμφόμενος οἷον τὸν ἀπατήσαντα καὶ τὴν αἰτίαν ἠρώτα τῆς τοσαύτης τοῦ λαοῦ συνδρομῆς. Καί τινες κατήκοοι τούτου γενόμενοι, φασίν· «ἄνθρωπε, μέμηνας; τῷ ἐν Θεσσαλονίκῃ ναῷ τοῦ Μεγάλου Δημητρίου ἑστώς, Ἀδριανούπολιν φαντάζῃ καὶ ἱππότην πλανήσαντα»; Καὶ δὴ ἔκπληκτος ἦν ὥραις ἐφ' ἱκαναῖς καὶ σιγῶν· εἶθ' οὕτως εἰς ἑαυτὸν ὥσπερ γενόμενος, ἐδημοσίευε τὸ τεράστιον καὶ μετὰ δακρύων ἅμα καὶ χαρμονῆς τὴν θεραπείαν ἐζήτει· ἤδη γὰρ ἀναμφίβολον ἐκ τοῦ προλαβόντος εἶχε τὴν τῶν ὀμμάτων ἀνάβλεψιν. Φαίνεται γοῦν κατ' ὄναρ ὁ μάρτυς αὐτῷ νυκτός, καί φησι «μὴ μόνον χερσὶν ἐπαφώμενος τὸν ἐμὸν τόνδε ναὸν καταμάνθανε, ἀλλὰ βλέπε τοῦτον καὶ αὐτοῖς ὀφθαλμοῖς». Καὶ αὐτίκα ἀναπετάσας τὰ βλέφαρα, ὁρᾷ πᾶσαν τοῦ ναοῦ τὴν θέσιν τε καὶ εὐπρέπειαν, Θεὸν μεγαλύνων καὶ τὸν μάρτυρα τούτου Δημήτριον.

ΙΗ'. 30. Ἀκούσωμεν, εἰ δοκεῖ, καὶ ἄλλην θαυματουργίαν μαρτυρικήν, ὡς ἐπὶ μᾶλλον ὁ δοξάσας τὸν μάρτυρα θεὸς μεγαλύνοιτο.

Τίς οὐκ οἶδε τὴν αὐτοῦ που πρὸς ἕω τῆς πόλεως διειδεστάτην καὶ ποτιμοτάτην πηγὴν ὕδατος, ὡς μὲν γλυκεροῦ, ὡς δὲ πρὸς μέτρον ψυχροῦ, πέτρας δὲ τοῦτο ἐξαναβλύζει διερρωγυίας οὕτως ἐκ φύσεως καὶ ὁ ἐκεῖσε χῶρος πεδιάσιν ἐξομαλίζεται καὶ αὔραις λεπταῖς τυγχάνει περιπνεόμενος, ὧν ἐντεῦθεν ταῖς τοῦ τόπου χάρισι φυσικαῖς καὶ ναὸν ἐκεῖσε δομηθῆναι τῷ μάρτυρι, πρός τινος ἀνδρὸς φιλοκάλου καὶ φιλομάρτυρος καὶ οἰκητήριον γενέσθαι φιλαρέτων καὶ θείων ἀνδρῶν. Τῷ τόπῳ γοῦν καὶ θαυμάτων πηγὴ ἀνέβλυσε πρὸς τοῦ μάρτυρος καὶ τοίνυν ἀνήρ τις ὑπηρέτης λειτουργημάτων βασιλικῶν δεξιώτατος καὶ πρὸς κοσμιότητα ἤθους ἀκεραιότατος τῇ Θεσσαλονικέων παραγενόμενος, νόσῳ περιεπεπτώκει δεινῇ· παρεῖτο γὰρ ὅλος, συντόμως εἰπεῖν, καὶ τὴν ὁλομέλειαν παραλέλυτο· καὶ πᾶσαν μὲν ἁρμονίαν διερρύη καὶ λέλυτο, σάρκες δὲ ὡσεὶ κηρὸς συνετάκησαν καὶ ὀδύναι δριμεῖαι τούτῳ περιεχόρευον, ὅσον οὔπω τὴν τελευτὴν τούτῳ προμαντευόμεναι. Ἀλλὰ φαίνεται ὄναρ αὐτῷ

φ. 96 Δημήτριος, ὁ ἄμισθος ἰατρός, καὶ « ἄπιθι, φησίν, πρὸς τὸν ἔξω | τῆς πόλεως εὐκτήριον οἰκόν μου, Πηγὴ τῷ τόπῳ τὸ ὄνομα, καὶ τοῦ ἐκεῖσε λαβόμενος ὕδατος, νίψαι σου τὸ πρόσωπον, χεῖρας καὶ πόδας καὶ πᾶσαν ἀπόλουσαι ὁλομέλειαν καὶ τύχῃς παραυτὰ τῆς ἰάσεως. Ἐγώ εἰμι ὁ λαλῶν σοι Δημήτριος ὁ
5 φύλαξ ταύτης τῆς πόλεως ».

Ἄγεται οὖν ὁ παραλελυμένος οὗτος ἀνὴρ ἐπὶ τῇ Πηγῇ, ὕδωρ ἄλλο τοῦτο τοῦ Σηλωάμ, κατὰ τὴν Γραφὴν εἰπεῖν, τὸ ἡσυχῇ πορευόμενος καὶ ὅλον ἑαυτὸν τῷ ἐκεῖθεν ἐπ' ὀνόματι τοῦ μάρτυρος περιρραντισάμενος ὕδατι, τὴν νόσον ἀποτετίνακτο καὶ ἀνέγρετο κούφως καὶ κινούμενος, τὸ θαυμάσιον ἐμε-
10 γάλυνε καὶ ἐκήρυττεν, ὡς ἔκτοτε τῇ τῶν ἁρμονιῶν τοῦ ἀνδρὸς θεραπείᾳ καὶ ὑγιείᾳ μεταπεσεῖν καὶ τὸ ὄνομα καὶ ἀντὶ Δημητρίου, ἰδιωτικῶς καλεῖσθαι ἁρμουγένην τὸν μάρτυρα.

ΙΗ β'. 31. Ἄγει καὶ πρὸς Καππαδόκας ἡμᾶς ὁ θαυμαστὸς καὶ Μέγας Δημήτριος ταῖς ἐκεῖ θαυματουργίαις αὐτοῦ.

15 Περίπου τῇ Ἐπαρχίᾳ Καππαδοκῶν χωρίον τὸ ὄνομα Δρακοντίανα, ἐν τούτῳ γηπόνος ἀνὴρ περὶ τὸ ἑαυτοῦ διαπεπόνητο γήδιον καὶ λίθων ἦν ἐκεῖθεν σωρὸν ἐκφωρούμενος, ὡς πρὸς τὸ εὔχρηστον τὸν τόπον μετασκευάσαιτο καὶ εἰς ἅλωνα μεταμείψαιτο. Ἐπεὶ γοῦν οὕτως ὁ γηπόνος ἦν πονῶν περὶ τὴν τοῦ τόπου ἐκλίθωσιν, θεμέλιοι δὲ ὑπῆρχον οἱ ἐξορυττόμενοι τἀνδρὶ
20 παλαιοὶ πρὸ ἱκανοῦ τῶν χρόνων κρυπτόμενοι ὑπὸ γῆν, νεανίας τῷ γηπόνῳ ἐφίσταται ἔφιππος, στρατιωτικῶς ἐσταλμένος, τὴν ὥραν θαυμαστός, καί, « ὦ οὗτος, φησί, τὸν οἰκόν μου, ἵνα τί οὕτως μετασκευάζεις εἰς ἅλωνα ; οἶσθα ὡς οὐ χαιρήσεις τῷ πράγματι, εἰμὶ δὲ ὁ λαλῶν σοι, ὁ ἐκ Θεσσαλονίκης Δημήτριος, ὁ καὶ ἐνταῦθα τιμώμενος » ἦν γὰρ κἀκεῖ ὁ μάρτυς πολλοῦ τιμώμενος
25 καὶ μεγαλυνόμενος. Ἀκούει ὁ γηπόνος, ἐκπλήττεται, ἀφωνίᾳ συνίσχεται ἐμβρόντητος ὥσπερ γενόμενος· ὁρῶσιν αὐτὸν οἱ προσήκοντες, τὴν αἰτίαν πυνθάνονται, ἀκούουσι τὰ τῆς ὄψεως καί, ἢ τάχους εἶχον, τὸν τόπον ἐπὶ πλέον ἀνακαθαίρουσι καὶ θεμελίοις ἐντυγχάνουσι παλαιοῖς, κἀντεῦθεν τεκμηριοῦνται πλέον, ὡς ναὸν ἐκεῖ ποτε τῷ μάρτυρι ᾠκοδόμητο· καὶ πάλιν αὐτοῖς ἀνί-
30 σταται ἰάχιον, εὐπρεπὴς καὶ θαυμάσιος, σταυρός τε εἰς τὸ μάρτυρος ὄνομα πήγνυται τῷ σηκῷ, τὸ μὲν φαινόμενον ὁ τροπαιοφόρος σταυρός, ὁ μάρτυς
φ.96' δὲ τὸ νοούμενον, ὡς πλουτοῖεν οἱ οὕτω σεβόμενοι, διπλῆν | ἐντεῦθεν τὴν βοήθειαν τῆς δυνάμεως, ὅση τε ἀπὸ τοῦ ζωηφόρου σταυροῦ, ὅση τε ἀπὸ τοῦ μάρτυρος, ἐπεὶ καὶ ὁ μάρτυς τῇ τοῦ σταυροῦ ἰσχύϊ τὴν πλάνην ἐνίκησε καὶ
35 ὁ σταυρὸς τῇ τοῦ μάρτυρος ἀθλήσει ἐπὶ μᾶλλον ἀνύψωται· εἰ δὲ καὶ τῇ ἀθλήσει ὁ Μέγας τῷ Χριστῷ συνεσταύρωται, ἵνα τί μὴ καὶ τὴν εἰκόνα εἴη συνανακεκραμένος, τύπῳ τῷ τοῦ σταυροῦ; Πήγνυται οὖν σταυρὸς ὁ μαρτυρικὸς τῷ ναῷ ἢ ταὐτὸν εἰπεῖν ἐναλλάξ, μάρτυς ὁ σταυρικὸς καὶ πηγὴ θαυμάτων ἐκεῖσε δείκνυται, καθ' ἑκάστην ἀενναΐζουσα τὰ τεράστια.

ΙΘ'. 32. Βούλεται διηγήσασθαι ὁ λόγος καὶ ἕτερον τῆς τοῦ Μεγάλου πρὸς τὴν οἰκείαν πόλιν πολλῆς οἰκειότητος καὶ συμπαθείας τεκμήριον ἀξιάκουστον.

Παραδίδοται πάλαι πόλις αὐτὴ τοῦ μάρτυρος δι' ἁμαρτίας ὑπερβολὴν τοῖς τῆς Ἄγαρ ἐκγόνοις, (ὦ κριμάτων ἀνεξιχνιάστων Θεοῦ!) καὶ τοῖς ἁγίοις θηρσὶν ἡ μάνδρα Χριστοῦ παρανάλωμα γίνεται, ἐν τῷ ἀποσκιρτῆσαι τῆς χλόης τῶν αὐτοῦ ἐντολῶν. Τότε δή, τότε ἐξ Ἰταλίας ἀφορμηθέντες ἄνδρες θεοσεβεῖς εἰς ἱστορίαν ὁμοῦ καὶ προσκύνησιν ἐξ εὐσεβείας ὅτι πολλῆς τὰ καθ' ἑκάστην πόλιν καὶ χώραν τὰ ἱερὰ καὶ τίμια περιήρχοντο, φθάνουσιν ὅρους τοὺς θετταλικοὺς τὴν ὁδοιπορίαν ἀνίοντες· βλέπουσιν ἐρχόμενοι τὴν ὁδὸν αὐτοῖς ἐκεῖθεν φανέντα καὶ συνοδοιπορήσαντα πρὸς βραχὺ ἄνδρα πρεσβύτην, γηραιὸν τὴν τρίχα, τὸ σχῆμα, τὴν ὄψιν, τὴν ἀναβολὴν σεμνοπρεπῆ τε καὶ κόσμιον. Ὁρῶσι δῆτα κἀκ τῶν ἔμπροσθεν, ἐπεὶ πρὸς Θεσσαλονίκην ἔβλεπε τὰ τῆς ὁδοιπορίας αὐτοῖς, νέον στρατιώτην, ἔφιππον, τὸ εἶδος ὡραῖον καὶ εὐπρεπέστατον, κατηφιῶντα μάλα καὶ σκυθρωπάζοντα καὶ πολλὴν ὅτι τὴν στυγνότητα φέροντα τῷ προσώπῳ καὶ τὸν ἱερὸν ἐκεῖνον ἄνδρα καὶ πολιὸν στυγναζούσῃ καὶ δακρυοέσσῃ φωνῇ προσαγορεύει, ὀνομάσας Ἀχίλλιον. Ὁ δὲ πρεσβύτης καὶ οὗτος ἀμοιβαδὸν ἀνησπάσατο, Δημήτριον τοῦτον καλέσας καὶ ἀθλητὴν τοῦ Χριστοῦ καὶ αὐτὸς ἀνηρώτα τῆς ἀθυμίας τὸ αἴτιον καὶ τῆς τοσαύτης στυγνότητος· καὶ ὁ μάρτυς «ἑάλω μοι ἡ πόλις, ἔφη, τοῖς ἐκ τῆς Ἄγαρ· ἑάλω παραδοθεῖσα πρὸς Θεοῦ εἰς ἀφανισμόν· βεβήλωταί μοι νῦν ὁ ναὸς αἱμάτων ῥείθροις τῶν πολιτῶν· κατεπατήθη τὰ ἱερὰ ποσὶ βεβήλοις καὶ πῦρ τὰ ὡραῖα τῆς πόλεώς μοι κατέφαγεν· οὐ γὰρ εὕρηνται μέχρι τῶν δέκα ἄνθρωποι ἀγαθοί, τὸ | Ἀβραμιαῖον αἴτημα ἢ ἱκέτευμα πρὸς Θεόν». Συσκυθρωπάζει καὶ ὁ ἱερὸς ἐκεῖνος πρεσβύτης ἀκούσας καὶ τοῦ Θεοῦ τὰ κρίματα, φησίν, ὡς ἀνεξιχνίαστα. Γίνονται τοίνυν ἀφανεῖς πάραυτα καὶ οἱ ὁδοιποροῦντες ἐκεῖνοι Ἰταλοί, ἐπείπερ εἷς τούτων γραικίζειν ἢ ἑλληνίζειν ἠπίστατο, πυνθάνονται τοῦτον, τίνες οἱ φανέντες ἄνδρες καὶ μικρὸν αὐτοῖς συνοδοιπορήσαντες καὶ τί βούλεται τὰ τῶν λόγων αὐτοῖς. Ὁ δὲ διηγεῖται τούτοις τὰ ἀκουτισθέντα αὐτῷ καὶ λύπῃ καὶ δειλίᾳ γίνονται κάτοχοι, τὸ μὲν τῇ τῆς περιαδομένης ταυτησὶ πόλεως εἰς τέλος διαφθορᾷ, τὸ δὲ μήποτε περιπέσειαν ταῖς τῶν βαρβάρων χερσίν. Ἀκούουσι μετὰ βραχὺ καὶ πρός τινων ἐντυχόντων αὐτοῖς τὰ τῆς συμφορᾶς καὶ τὴν ὁδὸν παρεγκλίνουσι, χάριν ὁμολογοῦντες τῷ μάρτυρι, οἷς εὐδόκησε δι' ὀπτασίας ἡμερινῆς τῶν βαρβάρων χειρῶν τούτοις ἀπολυτρώσασθαι. Γίνονται πρὸς τὴν Βασιλεύουσαν, κἀκεῖ διηγοῦνται τρανολογοῦντες παρρησίᾳ, ἃ καὶ εἶδον καὶ ἠκηκόεισαν.

φ. 97

Εἶεν· ἀλλ' ἄγε μοι λόγε τρέχε πρὸς ὁδὸν ἑτέραν θαυμασίου τεραστίου τοῦ μάρτυρος καὶ περιχλαινισθήσῃ χιτῶνα οἷον βασιλικόν, τὸ τερατούργημα διηγούμενοι.

Κ'. 33. Μανουὴλ ἐκεῖνος ὁ μέγας ἐν ἀριστείαις, ὁ δὲ ἄναξ Ρωμαῖος ἦν, ἁβρὸς μὲν καὶ πολὺς τὰ ἐς λόγους καὶ τὰ ἐς φρόνησιν ὑψηλὸς καὶ τὰ εἰς ὄγκον δὲ αὐτοκρατορίας ἁβρότατος καὶ τὰ εἰς φαιδρότητα κατὰ Σολομῶντα φιλόκαλος ὁμοῦ καὶ φιλόκοσμος· οὗτος καὶ δι' ἐσθημάτων πολυειδῶν ὁμοῦ καὶ πολυτελῶν τὸν ὄγκον τῆς βασιλείας ἐθέλειν ἐπαίρειν καὶ καταλαμπρύνειν τῶν ὁρώντων εἰς ἔκπληξιν, κελεύει ἁλουργίδά οἱ ἐξυφανθῆναι βασιλικήν, ὡς ταύτην φαιδραῖς τῶν ἑορτῶν ἡμέραις καὶ ὁπότε πρέσβεσι τοῖς ἐκ τῶν ἐθνῶν χρηματίζει περιαμπίσχοιτο· ἡ δὲ ἦν ἔργον τέχνης ποικιλτικῆς, ἀξιοθέατόν τε καὶ ἀξιάγαστον, πᾶσαν ὄψιν τῷ λαμπρῷ τῆς θέας ἐπισυρόμενον. Καταστίζει τὴν ἁλουργίδα ὁ βασιλεὺς μαρμάροις πολυτίμοις καὶ λίθους ἐπιτάττει ἄνθρακας πανταχοῦ, αὐτοφυῆ καὶ αὐτόκαυστα εἶπεν ἄν τις πυρσά· οὐράνιος ἄντικρυς ὀθόνη ἡ ἁλουργίς, ἴσα καὶ ἄστρασιν ἀκτινοβολοῦσα, λίθους τοῖς ἄν-
φ.97ᵛ θραξι ! σπινθῆρας ἀφλύγους πάντοθεν ἐκσπινθηρακίζουσα. Καὶ ἦν χρῆμα τοῦτο τῷ βασιλεῖ κατεξαίρετον, κειμηλιούμενον τοῖς βασιλικοῖς θησαυροῖς καὶ θαλαμευόμενον. Ἀλλ' ἐπείπερ ἡ λαμπρὰ ἡμέρα φθάσοι τῆς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ Ἀναστάσεως, ἐξάγουσιν ἐκ τῶν ἀδύτων τὴν κατάλιθον ἐκείνην πορφυρίδα καὶ καταμάργαρον τὸ προσεπέραν οἱ φύλακες πρὸς θαλάμους τοὺς ἔξωθεν, ὡς ἐξ ἑτοίμου ταύτην ἔχειν, ἐφ' ᾧ τὴν αὔριον περικοσμηθῆναι τὸν βασιλέα. Ἀλλά, θαυμάσιά σου τὰ τεράστια καὶ ἀστεῖα Δημήτριε Μέγιστε! νύκτωρ ταύτην λωποδυτεῖς ἐκ θησαυρῶν τῶν βασιλικῶν καὶ τῇ θείᾳ σου λάρνακι περιτίθης, ἐξαπλώσας ἀπὸ κεφαλῆς καὶ μέχρι ποδῶν.

Τί τοὐντεῦθεν; τάραχος μὲν ἐν τοῖς βασιλείοις ἱκανὸς τοῖς ἱματοφύλαξιν ἢ θησαυροφύλαξιν· ὁ δὲ νεωκόρος ἐνταῦθα τὸ μαρτυρικὸν πρὸς ὄρθρον ὑπανοίξας ἀνάκτορον, ὡς μόνον εἰσῄει, ἔκπληκτος ἦν θεασάμενος τὴν βασιλικὴν ἐκείνην πορφυρίδα ἐφηπλωμένην λάρνακος τῆς μαρτυρικῆς καὶ δρομαῖος ἐξῄει καὶ ὅλος περίτρομος ἦν, ἔκ τε τῆς ἐκπηδώσης αἴγλης τῶν ἀνθράκων λίθων μικροῦ ἐκτυφλούμενος, ἔκ τε τοῦ παρ' ἐλπίδα φανέντος ἱκανῶς ἐκθαμβούμενος. Εἴσεισι καὶ αὖθις· βλέπει καὶ πάλιν τὸν λαμπρὸν ἐκεῖνον χιτῶνα βασιλικόν, ἐκθαμβεῖται, δημοσιεύει τὸ πρᾶγμα, συντρέχει ὅσον δερούσιον. Ὁρῶσι τὴν κατάλιθον ἁλουργίδα καὶ περιμάργαρον· γνωσιμαχοῦσι, κατανοοῦσι τὸ χρῆμα εἶναι βασιλικόν· δηλοῦσι τὸ τερατούργημα παραυτὰ διὰ ταχινῶν ἀγγελιαφόρων τῷ βασιλεῖ· ἀκούει ὁ Αὐτοκράτωρ, πολυπραγμονεῖ τὴν ἡμέραν, ὅτε ἡ ἁλουργίς τῇ τοῦ μάρτυρος ἐπικειμένῃ εὕρηται λάρνακι· εὑρίσκει ταύτην εἶναι, ἐν ᾗ τῶν βασιλικῶν ἐξαποσεσίληται θησαυρῶν, ἀρκούντως θαυμάζει, μεγαλύνει τὸν μάρτυρα, ἐκπλήττεται τὸ τεράστιον, ἐπὶ μέγα κροτεῖται τῇ βασιλευούσῃ τὸ ὑπερβάλλον τοῦ θαύματος· καὶ ὁ βασιλεύς, «ἔοικέ, φησιν, ὁ μάρτυς ἐξελέγχων ἡμᾶς τῆς ἐς τόδε μέχρις ἀμελείας, φαίειν δὲ καὶ ἀγνωμοσύνης, ἐπείπερ αὐτὸς μὲν πολλαῖς πολλάκις μάχαις ταῖς κατ' ἐχθρῶν ὑπερεμάχησε καὶ τοὺς ἐναντίους κατέστρεψεν, ἡμεῖς δὲ οὐδ' ἐς ἅπαξ τὸν νικητήν, οὐδὲ μικροῖς γοῦν τισιν ἐδεξιωσάμεθα τοῖς ὁποιοισοῦν

ἀναθήμασιν, ὡς ἐντεῦθεν ἀναγκασθῆναι τὸν | ἀθλητὴν καὶ ἡμῶν τὴν ἁλουρ- φ. 98
γίδα τοῦ χρέους ἐνεχυράσασθαι ἀμελησάντων πρὸς τὴν ἀπόδοσιν τοῦ ὀφλήματος. Ἀλλὰ πολλή σοι χάρις, θεῖε Δημήτριε, μεγάλη σοι δόξα, μεγάλα σου τὰ θαυμάσια, ἡμῶν προπολεμοῦντος, ἐπικουροῦντος, ἐλέγχοντος». Οὕτως ὁ βασιλεύς· καὶ παραυτίκα γραφαὶ ἐρυθρόγραφοι, χρυσοσήμαντοι τῷ Μεγάλῳ 5
ἀφιεροῦται, χώραν τὴν Μελιδόνιον καὶ πλέθρα γῆς περὶ αὐτὴν ἱκανὰ καὶ πρεσβεία ἐξαιτουμένη τὴν συγγνώμην τὸν μάρτυρα καὶ τοῦ ἀγνοήματος τὴν συγχώρησιν.

Ἀλλὰ γὰρ τῶν παλαιτέρων ἀφέμενοι θαυμάτων τοῦ μάρτυρος, (τίς γὰρ ἂν καὶ ἐξαριθμήσῃ ταῦτα καὶ διηγήσαιτο ;) τοῖς προσφάτοις καὶ νεωτέροις καὶ 10
ὧν πολλοὶ καὶ θεαταὶ καὶ μάρτυρες εἰσέτι τῷ βίῳ περίεισιν, ἐνδιατρίψωμεν, εἰ δοκεῖ.

ΚΑ'. 34. Μαστίζει Θεὸς πολλάκις λαὸν τὸν αὑτοῦ καὶ πλαγίῳ βλέπει κατὰ τοὺς ὀργιζομένους τῷ ὄμματι, πλαγιάζοντας τῆς εὐθείας τῶν αὑτοῦ ἐντολῶν καὶ ταπεινοῖ καὶ παραδίδωσι τοῖς ἐχθροῖς· καὶ ψευδὴς μὲν ἵππος 15
εἰς σωτηρίαν ὀργιζομένου Θεοῦ, πόλεις δὲ καὶ φρούρια ὀχυρὰ καὶ πλῆθος λαοῦ καὶ χρημάτων ὠφέλησεν οὐδαμοῦ, ὡς ἐκτριβῆναι τὴν κακίαν καὶ πεσεῖν τοὺς ἁμαρτωλοὺς καὶ πᾶν δόξασμα καὶ πᾶσαν εὐπρέπειαν.

Γίνεται τῇ Ρωμαίων πληγὴ κραταιὰ ἐν τῷ παροργίσαι τὸν Θεὸν καὶ ἀθετῆσαι καὶ παριδεῖν τὰ αὑτοῦ δικαιώματα καὶ ράβδον ἀφίησι καθ' ἡμῶν 20
τὴν λατινικήν. Καὶ πρῶτα μὲν ἁλίσκεται, (ὦ Θεοῦ κριμάτων!) πόλις ἡ Βασιλίς, ὑψηλὴ καὶ κραταιὰ καὶ μετέωρος καὶ ὁ κρατῶν φυγάς, ἀλήτης, τόπον ἐκ τόπου περιπλανώμενος· καὶ χρημάτων μὲν θησαυροὶ τοῖς ἐχθροῖς· στρατεύματα δὲ τὰ ρωμαϊκὰ ἐσκυλμένα καὶ διεσκορπισμένα καὶ ἀνυπόστατα καὶ ἁπλῶς εἰπεῖν, πρὸς φθορὰν ἐνόσει Ρωμαίοις τὰ πράγματα· καὶ δὴ τῆς ψυχῆς 25
τῆς Ρωμαΐδος, ὡς οὕτως εἰπεῖν, ἀπεσβηκυίας οὕτως ἐλεεινῶς, ἅπαν τὸ σῶμα χωρῶν ὁμοῦ νενέκρωται καὶ τῶν πόλεων καὶ τῆς δεσποίνης αἰχμαλώτου γεγονυίας καὶ αἱ θεραπαινίδες τῇ τυραννίδι συναπηνέχθησαν. Τότε δὴ τότε καὶ τὰ θηρία τῆς γῆς, αἱ κατὰ μέρος ἐθναρχίαι τοῦ βασιλικωτάτου Λέοντος, ἄνακτός φημι τῆς Ρωμαΐδος, ἐξασθενήσαντος, τῶν οἰκείων φωλεῶν ἐξερ- 30
πύσαντα | καθυλάκτου τῆς Ρωμαΐδος, κατέτρεχον, ἐλύπουν, ἐπέρθουν, κατέ- φ. 98'
δακνον, οὐ Γεβὰλ καὶ Ἀμὼν καθάπερ πάλαι κατὰ τῶν υἱῶν Ἰσραήλ, ἀλλὰ πανσπερμία ἔθνους παντός, ὅτε καὶ τῶν Βουλγάρων ὁ τότε κρατῶν Ἰωάννης, Ἰωαννίτζην δὲ μᾶλλον ἡ φήμη ἕως ἄρτι τοῦτον κατονομάζει. Οὗτος κατὰ πᾶσαν τοῦ κωλύοντος ἐρημίαν ἐκστρατεύει κατὰ Ρωμαίων καὶ πᾶσαν 35
τὴν Μακεδόνων διαδραμών, χώρας ἀφανίζει, φρούρια πάντα πορθεῖ καὶ ἐδαφίζει ἐξ αὐτῶν κρηπίδων εἰς γῆν· προνομεύει, λεηλατεῖ, μετοικίζει τὸ πλῆθος ἅπαν καὶ παροχθίους ποταμῷ τῷ Ἴστρῳ ποιεῖ καὶ ἁπλῶς εἰπεῖν πᾶσαν ὅσην ἐπέδραμεν ἐρημοῖ. Ὁρμᾷ καὶ πρὸς τὴν τῶν Θεσσαλονικέων πόλιν

ἀκρατήτῳ φορᾷ, στρατὸν ὑπὲρ τὴν ψάμαθον ἐπαγόμενος ἐκ Βουλγάρων, ἐκ δρομάδων νομάδων, Σκυθῶν, ἐκ Χαζάρων, ἐκ Ρωμαίων, ἐξ Ἀλβανῶν ἐκ τῶν Ρώς, πανσπερμίαν παντὸς ἐκ γένους, ὁπόσα βόσκει κλῖμα τὸ ὑπερβόρειον, Ὕδραν ἄν τις εἶπε μυριοκάρηνον ἢ Τυφῶνα ἑκατογκέφαλον ἢ ἑκα-
5 τόγχειρας Γίγαντας ἢ Τιτάνας ἄλλους θρασεῖς· αἰχμηταὶ ἦσαν ἐκεῖ, τοξόται, κορυνηφόροι, ἀσπιδιῶται, σφενδονῆται, ἀκοντισταὶ καὶ ἅπαν ἄλλο πολεμικῆς παρατάξεως εὕρημα. Προτρέχει τούτου ὁ τῆς στρατιᾶς αὐτοῦ ἀρχιστράτηγος Μαναστρᾶς. Στρατηγικώτατος δ' οὗτος ἦν τὰ πολεμικά, στρατὸν μυριάριθμον συντασσόμενος, διαναπαύει τοῦτον ταῖς παρὰ τὸν ποταμὸν Γαλ-
10 λικὸν καταχόρτοις πεδιάσιν ἐπὶ βραχύ. Μετὰ δὲ κἀκεῖνοι ὁ τῶν Βουλγάρων Ἄναξ πήγνυσι τὴν σκηνήν, μεθ' ὅσης τῆς τῶν στρατευμάτων δυνάμεως, εἰς τὰ Λαγκαδά. Τόπος οὗτος, οὐ μακρὰν ἀπέγων τῆς πόλεως, ἱκανὸς μυρίαν ἵππον διαναπαῦσαι, ὕδασί τε καὶ χόρτῳ πολυπληθεῖ. Καὶ οὕτως ὁμοῦ εἰς ἓν συντρέχει τὰ στρατεύματα, Γαλλικόθεν, Λαγκαδόθεν καὶ τὴν μεγαλό-
15 πολιν ταύτην Θεσσαλονίκην στέφει στέφανον ἀναγκῶν, οὐ καυχήσεως. Πεπύκνωνται περὶ πᾶσαν τῶν στρατευμάτων αἱ φάλαγγες καὶ φάραγγες μὲν
φ. 99 ἐπληροῦντο αἱ περὶ κύκλῳ, βουνοὶ δὲ πάντες | ἐξωμαλίζοντο· καὶ γῆ μὲν κάτω ταῖς ὁπλαῖς τῶν ἵππων ἐσείετο, ἀὴρ δὲ ἄνωθεν τῷ φριμαγμῷ τούτων ἀντήχει καὶ δοῦπον βροντηδὸν ἐπατάγει καὶ κλόνον ταῖς τῶν πολιτῶν καρ-
20 δίαις ἐνέβαλεν· ἄλλος ἐδόκει Ξέρξης, ἄλλος Ραμψάκης, ὁ ἐξ Ἀσούρ, ἄλλος Σεναχειρήμ· ὁ μὲν κατὰ τῆς Ἑλλάδος, οἱ δὲ κατὰ τῆς Ἰουδαίας στρατοπεδεύονται· τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ, τὸ τῆς θείας Γραφῆς εἰπεῖν «ὡς παράδεισος τροφῆς τὰ πρὸ προσώπου αὐτοῦ καὶ τὰ ὀπίσω αὐτοῦ πεδίον ἀφανισμοῦ».

25 Ὡς γοῦν ὁ τῆς μυρίας ταύτης στρατιᾶς Ἄναξ ἐκεῖνος φθάσοι ὁ δυσμενὴς ἐκ τῶν ἐκεῖσε βορειοτέρων ὑψηλοτέρων τεμπῶν, ἀφ' ὧν ἡ πᾶσα πόλις ἐστὶν ἅμα καταφανής, ὡς ἐξ ἀπόπτου περιεσκόπει ταύτην καὶ εἰς ἅπαν περιειργάζετο. Καὶ οἴκων μὲν ἑώρα μεγέθη καὶ καλλονὴν καὶ ναοὺς σεπτούς, ἠρώτα καὶ ἐδιδάσκετο, ἐπεὶ δὲ καὶ τὸν τοῦ Μεγάλου Δημητρίου θεῖον οἶκον
30 καὶ ἔδοι καὶ ἐρωτήσοι καὶ μάθοι, ὡς ναὸς οὗτος ἐστὶ Δημητρίου τοῦ μάρτυρος, παραυτίκα τοῦ ἵππου καταβῆναι καὶ προσκυνῆσαι καὶ οὕτως εἰπεῖν: «σφετὶ Δημήτριε!» δεῖ γὰρ ἀπαραποιήτως ἐκ μέρους εἰπεῖν τὴν βάρβαρον ἐκείνην φωνήν, «εἰ τὴν πόλιν ταύτην πορθήσαιμι, ποιήσομαί σοι καλὸν μοναστήριον»· βουλὴν γὰρ κἀπὶ τῇ λαμπρᾷ πόλει ταύτῃ βεβούλευται πο-
35 νηράν, ἣν θεὸς ἠκύρωσεν ἄνωθεν, ὁ διασκεδάζων βουλὰς ἐθνῶν, ὡς πορθήσει μὲν τὴν πόλιν τοῦ μάρτυρος, ἐκκενώσει δὲ τῶν οἰκητόρων πάντων αὐτήν, ὅσοι δῆτα τὸ τῆς μαχαίρας στόμα ἐκφύγοιεν καὶ καταβαλεῖ μὲν εἰς γῆν ἐκ θεμελίων αὐτήν, ἐρείπιον τὴν εὐτείχεον θέμενος καὶ τὴν περιαδομένην καὶ ὡραίαν τῶν πόλεων, κατησβολημένην καὶ πεδίον ἀφανισμοῦ, ὡς ἠβούλετο.

Ἀλλὰ σὺ Δημήτριε καλλιμάρτυς, πολιοῦχε, φιλόπατρι, μέγα στρατάρχα τῆς Θεοῦ παρατάξεως, τῆς παροινίας ἐξεγέλας αὐτὸν καὶ τῶν ματαίων βουλευμάτων ἐξεμυκτήριζες· καὶ ἐστίλβους μὲν τὴν ρομφαίαν σου κατ' αὐτοῦ, ἐπεῖχες δὲ ὅμως, καιρὸν διδοὺς αὐτῷ, εἴ πως σωφρόνως μεταβουλεύσαιτο καὶ ἀποσταίη τῆς ἧς ἐνενόει κακίας καὶ ματαιότητος. Ἀλλ' οὐκ ἐκεῖνος, ἀλλ' ὡς εἶχε τάχους, κατασκόπους | κύκλῳ πάσης πέμπει τῆς πόλεως καὶ καθ' ἕνα μὲν φ.99ᵛ πάντας πύργους ἐξαριθμεῖ καὶ μεταξὺ δὲ τῶν πύργων τοῦ τείχους ἅπαντα διαστήματα, πάσας ἐπάλξεις καὶ ἅπαν προμάχιον. Γίνεται τὰ περὶ τούτου ταχὺ εἰς βουλὴν καθήξει τὸ τῆς αὐτοῦ τάξεως ἅπαν γερούσιον καὶ βουλὴν ἀρτύει πολιορκίας, ὡς καθέναστον πύργον τῆς πόλεως τάξις μία τῶν στρατευμάτων αὐτοῦ προσβαλεῖ καὶ ἓν ἑκάστη τῶν τάξεων καὶ δύο κλίμακας φέροιτο, ὡς ἂν ὁμοῦ, πάντα στρατεύματα κύκλῳ τὴν πόλιν καὶ ἅμα πολιορκήσαντα αὐτοβοεὶ σχεδὸν καὶ ῥᾶστα αὐτῆς περιγένωνται πολέμου νόμῳ κρατήσαντα. Καὶ εἶχεν ἂν εἰς ἔργον ἐλθεῖν αὐτοῦ τὰ βουλεύματα· ποῦ γὰρ ἡ πόλις εἶχε τότε πρὸς τοσαῦτα μυρία πλήθη στρατοῦ ἔνδον λαὸν ἀξιόμαχον, εἰ μὴ καὶ πάλιν ὁ μέγας φύλαξ ἡμῶν καὶ στρατάρχης καλλίνικος τὴν ἑαυτοῦ δυναστείαν ἐξεγειράμενος ἱππασίαν ἱππάσατο τῇ πόλει σωτήριον;

Ἐπεὶ γὰρ ἅπαν μηχάνημα ὁ Βουλγάρων ἄναξ ἐκεῖνος Ἰωάννης καὶ πᾶσαν αὐτοῦ βουλὴν καὶ τάξιν τὸ πρὸς ἑσπέραν ἐσκεύασε καὶ ὅπλα καὶ ρομφαίας καὶ τόξα ηὐπρέπισε καὶ πᾶσαν οἰκονομίαν ἀρεϊκήν, ὡς ἐπιφωσκούσης ἡμέρας, ἤδη τῆς αὔριον τοῦ ἡλίου τὸ ἑῶον κεντρίσοντος πρὸς μάχην καὶ πόλεμον τὴν πόλιν περικυκλώσαιτο, εἰς ὕπνον τρέπεται. Ἤδη γὰρ ἡ μόρσιμος αὐτῷ ἐφοίτησε νὺξ καὶ ἦν ὡς ἔοικεν οὐδὲν ἄλλο καὶ νύκτωρ φαντασιούμενον καὶ τοῖς ὀνείροις πλαττόμενον ἢ τὸ τὰς παρατάξεις αὐτοῦ τὴν πόλιν πολιορκεῖν, τὸ ἀναβαίνειν ταύτας ταῖς κλίμαξιν ἐπὶ τῶν τειχέων, τὸ βλέπειν ἀνδροκτασίας, τὸ κυδοιμοῦ ἀκούειν, τὸ μεθ' ὅσου τοῦ κόμπου βαίνειν εἴσω τῆς πόλεως.

35. Ἀλλὰ ταῦτα μὲν αὐτῷ ἄχρι δὴ καὶ μεσονυκτίου· μετὰ δέ, ἀφυπνισθέντος, ἐπεὶ καὶ λαμπάδες αὐτῷ τὸ σκότος τῆς νυκτὸς ἐν τῇ σκηνῇ διεφώτιζον, νεανίσκων παρισταμένων καὶ ἐπαγρυπνούντων καὶ φυλασσόντων φυλακὰς τῆς νυκτός, ὡς ἔθος, αὐτοῦ κατενώπιον, τότε δὴ τότε ἀωρὶ τῶν νυκτῶν, εἰς τέλος θεὸς τὴν ἑαυτοῦ τῆς ἐκδικήσεως ρομφαίαν ἐστίλβωσε καὶ ὑπέθηξεν ὡς ἐν θηγάνῃ τῷ ζήλῳ τοῦ μάρτυρος καὶ αἴφνης ὁ ἄγρυπνος τῷ ὄντι φύλαξ καὶ πολιοῦχος ἡμῶν καὶ μέγας τοῦ μεγάλου Βασιλέως στρατιώτης Δημήτριος, ἔφιππος ἐφ' ἵππου λευκοῦ τῷ βουλγαράνακτι φαίνεται καὶ καιρίαν ἀκοντίζει παραχρῆμα τὸν | ἄθλιον. Ὁ δὲ μέγα παραυτίκα ἀνακραγὼν κατεβοᾶτο τοῦ φ.100 ἀρχιστρατήγου τῆς στρατιᾶς αὐτοῦ Μαναστρᾶ, ὡς δῆθεν τρωθεὶς ὑπ' αὐτοῦ· τοῦτον γὰρ ἐδόκει ὁρᾶν ἱππαζόμενον, ᾧπερ εὐγενεῖ καὶ λευκῷ ἵππῳ ἱππάζετο, τῆς σκηνῆς ἔνδον γενόμενον καὶ λόγχην, ἣν περιέφερε, τῇ καρδίᾳ τούτου ἐμβάψαντα. Καὶ αὖθις κατεβοᾶτο τούτου καὶ πολλάκις, ὡς καὶ αὐτὸν ταῖς

κραυγαῖς θορυβηθέντα καὶ ἀναπηδήσαντα τῆς στρωμνῆς, ἐν γειτόνων γὰρ ἦν αὐτῷ ἡ σκηνή, εἰσελθεῖν καὶ ἰδεῖν καὶ φανῆναι καὶ ἀκοῦσαι, ὡς « σύ με πρὸ βραχέος ἔφιππος τῷ λευκῷ σου ἵππῳ γενόμενος ἐνταῦθα κατέσφαξας δόρατι ». Καὶ τὸν γενέσθαι περιδεᾶ καὶ εἰπεῖν « μή, σύ γε βασιλεῦ· συμπάθησον· οἴκτειρον· οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· φάσμα σοι γέγονεν, οὐκ ἀλήθεια ». Ἀλλ' ἐκεῖνος εἰς βάθος καιρίαν δεξάμενος τὴν πληγήν, ἐστροβεῖτο δεινῶς, ἐκεκράγει καὶ ἀνωλόλυζε. Νύσσεται γοῦν τὴν κοιλίαν εὐθὺς καὶ ροῦν ἱκανὸν ἀκραιφνεστάτου αἵματος κάτωθεν ἀπορρεῖ, ὅπως ἂν βαφῇ ὁ ποῦς σου, Δημήτριε, ἐν αἵματι τῶν ἐχθρῶν σου, ὑπὲρ τῆς σῆς τῆσδε πόλεως καὶ ἄρχεται λιποψυχεῖν.

Ταῦτ' ἰδὼν ὁ τῆς δυνάμεως αὐτοῦ ἀρχιστράτηγος Μαναστρᾶς, ᾗ τάχους εἶχεν, ὕπτιον τοῦτον ἐπιβιβάσας, προτροπάδην φεύγει καὶ κλέπτων τὴν σωτηρίαν, μεθ' ὅσον τάχους ὑποχωρεῖ καὶ μετ' αὐτοῦ καὶ σὺν αὐτῷ ἅπαν ἐκεῖνο τὸ μυριοπληθὲς στρατολόγιον, οὕτω ταχέως ὡσεὶ καὶ βορεάδαι τινὲς κατὰ τοὺς θρυλλουμένους τούτους ἐδίωκον· φόβος γὰρ αὐτοῖς καὶ τρόμος ἐπῆλθε κατά τινα ξένην ἀντιπερίστασιν. Ἀλλὰ γὰρ οὐκ εἰς μακρὸν τούτῳ τὸ ζῆν, ἀλλ' αὐθημερὸν πρὸς ἡλίου δυσμάς, κατὰ τὸ ἐν ταῖς ἱστορίαις ζῶον μονήμερον, θνήσκει βιαίως οὗτος ὁ ἄθλιος, τῆς οἰκείας κακίας καὶ ματαιότητος δρεψάμενος τοὺς καρπούς, μέχρις αὐτοῦ τρυγίου τὸ κόνδυ τοῦ θυμοῦ ἐκπιὼν καὶ τὸ τῆς ὀργῆς Κυρίου ποτήριον καὶ τοῦ μεμεθυσμένου θείου ξηροῦ εἰς πεῖραν ἐλθών. Ἐπεστράφη γὰρ ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ καὶ ἐπὶ κορυφὴν μὲν ἡ ἀδικία κατέβη αὐτοῦ, εἰς βόθρον δ' ὃν εἰργάσατο πέπτωκε καὶ μία μαρτυρικὴ βολὶς εἰς ἐκδίκησιν ἤρκεσε τῶν πολλῶν ἐκείνου κακῶν καὶ αἷμα ἐξέχεε δίκαιον τῶν ἐγκάτων αὐτοῦ, πολλῶν αἱμάτων ἀδίκων ἀντίποινον. Ἐντεῦθεν αἶνος Θεῷ πρὸς τῆς ἡμῶν ταύτης πόλεως, τὰ ρύσια
φ100ᵛ παιανιζούσης τῷ μάρτυρι· | ἐντεῦθεν μετ' εὐφροσύνης ἅπας τῷ πολιούχῳ ἡμῶν τὸ τῆς ἀπολυτρώσεως ἀνεκρούετο τύμπανον· ἡμέρα γὰρ χαρμοσύνης ἐκείνη, ἡμέρα ἑόρτιος τῷ λαῷ· τὸ ἑσπέρας ηὐλίσθη τῇ μαρτυρικῇ ταύτῃ πόλει, συνοχὴ καὶ δειλίας φόβος ἐπέπεσε καὶ εἰς τὸ πρωΐ ἀγαλλίασις ἐξανέτειλεν· ἀνέβη γὰρ ὁ ἐμφυσῶν αὐτῇ εἰς πρόσωπον καὶ ἐξαιρούμενος ἐκ τῆς θλίψεως, τὸ τῆς προφητείας εἰπεῖν.

36. Ἀλλὰ τίς ἂν σταγόνας ἀπαριθμήσειεν ὑετοῦ καὶ ἄμμων ἀριθμὸν καὶ ἡμέρας αἰῶνος καὶ πλῆθος ἀστέρων; τίς δὲ καὶ θαυμάτων πλῆθος Δημητρίου τοῦ Χριστομάρτυρος; εἰ γὰρ ὅλους ἑαυτοὺς τοῖς διηγήμασι τῶν θαυμάτων τοῦ μάρτυρος δοίημεν, οὐκ ἂν φθάνοιμεν διεξοδικώτερον διηγούμενοι, βίβλους ἀπείρους ἐπιστοιβάζοντες, εἰ τέως καὶ νοῦς ἐπαρκέσει καὶ ὁ χρόνος οὐκ ἐπιλείψει ἡμῖν. Πλὴν ἀλλ' ἀνιμησώμεθα τῆς ἀβύσσου τῶν αὐτοῦ θαυμάτων ἢ μᾶλλον εἰπεῖν τῶν μυρορρόων πηγῶν ὀχετιόν τι μυρόρρειθρον καὶ οὕτω τὸν λόγον καταμυρίσαντες, διαναπαύσομεν ἐν καλῷ.

ΚΒ'. 37. Τίς οὐκ οἶδε τὴν ἐκ τοῦ πανεντίμου Δημητριακοῦ σώματος ἀναβλύζουσαν τῶν μύρων πηγήν, ὅση τῷ πληθυσμῷ, ὡς ὑπερεκχεῖσθαι καὶ τῶν κύκλῳ τῆς θείας αὐτοῦ σοροῦ μυροδόχων δεξαμενῶν. Αὗται ἐκ πηγῆς τῶν μύρων τοῦ μάκαρος μέχρις αὐτῶν δεχόμεναι τὸν εὐώδη ροῦν διακρουνιζόμενον, τοῖς βουλομένοις τῶν χριστωνύμων κατὰ πᾶσαν ὥραν ἰατρεῖον πρόκειται ἑτοιμότατον καὶ γένος ἅπαν καὶ ἡλικία πᾶσα ἐκεῖθεν πρυτανεῖον ἄφθονον τῶν μύρων πλουτοῦσι τοῦ μάρτυρος, ἄνδρες, γυναῖκες καὶ νήπια, ὅλαις χερσὶν ὅσα καὶ σίφωσι, πρὸς ἑαυτοὺς τὸ μύρον ἐκεῖθεν ἐφέλκουσι. Καὶ οἱ μὲν ὀφθαλμούς, οἱ δὲ στόμα καὶ ὦτα τούτῳ καθαγιάζουσιν, οἱ δὲ καὶ στέρνα καὶ πᾶσαν τοῦ σώματος ὁλομέλειαν τῷ μύρῳ προσεπιχρίουσι καὶ ἁπλῶς εἰπεῖν, ἀκορέστως ἔχουσι τῆς ἐκ τούτου καταμυρίσεως.

Τοίνυν καί τις ἀνήρ, βίον ἀναδεξάμενος τὸν μοναδικὸν καὶ τὸ τοῦ θείου σχήματος φορέσας τριβώνιον, πιστεύεται διὰ βίου κοσμιότητα τὴν ὑπουργίαν σοροῦ τῆς τοῦ μάρτυρος, ὃς καθεκάστην ὁρῶν οὕτως ἀκορέστως ἀλειφομένους τοὺς ἁπάσης ἡλικίας καὶ γένους τῶν μύρων τοῦ μάρτυρος καὶ μᾶλλον γυναῖκας καταχριομένας ἀπλήστως βλέφαρα καὶ στήθη, μαστοὺς καὶ βραχίονας, πλήττεται τὴν συνείδησιν | μὴ ἂν εἶναι τοῦτο τῷ μάρτυρι ἀπο-φ.101 δεκτὸν ὑπολογισάμενος. Καὶ πορευθεὶς ἀποκλείει τὰς μυροδόχους δεξαμενάς, οὐκ εἰδὼς ὡς ἔοικεν, ὡς χαίρει μᾶλλον ὁ μέγας ἀθλητὴς τοῦ Χριστοῦ τοῖς πᾶσι συνανακύρνασθαί πως μύροις τοῖς ἑαυτοῦ καὶ πάντας καὶ πάσας καταμυρίζειν καὶ ἁγιάζειν ἐκ μόνης τῆς τῶν μύρων προσψαύσεως καὶ οὐδένα τῶν ἁπάντων βδελύττεται τὸ παράπαν, οὐδ' ἀποστρέφεται, κἂν ρυπῶ τὸν βίον, κἂν μεμόλυνται οὐκ ἐπαινουμέναις ταῖς πράξεσι· μαθητὴς γάρ ἐστι, μιμητής ἐστι τοῦ ἐλθόντος καλέσαι μὴ δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, τοῦ τὰς ἁμαρτίας ἡμῶν ἀραμένου καὶ τὰς νόσους βαστάσαντος καὶ μετὰ ἁμαρτωλῶν καὶ τελωνῶν ἐσθίοντος.

Τοίνυν καὶ ὄναρ φαίνεται ὁ Μέγας αὐτῷ καὶ κατονειδίζει τὰς πράξεις καί, «ἵνα τί, φησιν, τοῖς εὐσεβέσιν ἐφθόνησας, τὸν ἐκ τῶν ἐμῶν αἱμάτων πρὸς Θεοῦ πλουσίως καθ' ἑκάστην δαψιλευόμενον ροῦν καὶ τὰς μυροδόχους δεξαμενὰς τοῖς φιλοχρίστοις κατέφραξας ; Καὶ αὐτὸς μὲν οὐκ ἐν μέτρῳ καὶ στάδην, ἀλλὰ πλησμίως τὰ μύρα προτίθημι, οὐδὲ πεφεισμένως οὕτως ἔχεις καὶ φθονερῶς, ἀλλὰ γὰρ ὡς μάθῃς μὴ ἀποκλείειν τοῖς φιλομάρτυσι τὸν ἁγιασμὸν μηδαμῶς, ἐνταῦθα θύραν τῶν ἐμῶν τοῖς εὐσεβέσι μύρων ἀνοίγνυμι ». Εἶπε· καὶ τῇ χειρὶ κατέχων βακτηρίαν λεπτήν, ταύτῃ τὴν ὁδὸν τοῦ μύρου διέγραψεν, ἐκ τῆς μυροφόρου κινήσας ταύτην σοροῦ καὶ εἰς πρόσωπον τοῦ ἐδάφους κατευθεῖαν σχηματισάμενος τοῦ ναοῦ καὶ παραυτίκα μύρων ὀχετὸς ἐκεῖθεν ἐξέρρει καὶ τῷ ἐδάφει τοῦ ναοῦ ὁμαλῶς καὶ ἠπίως περιελίμναζε. Καὶ ποταμὸς ἰδοὺ κατὰ Δαυὶδ ἐπεκρότει χειρὶ τὸ θαυμάσιον, ὡς ἐντεῦθεν ἐξαπορῆσαι τὸν ὑπηρετοῦντα τῇ τοῦ μάρτυρος λάρνακι καὶ ταχέως αὖθις ἀνοῖξαι τὰς κλεισθείσας αὐτῷ τὸ πρῴην μυροδόχους δεξαμενὰς καὶ συγγνώ-

μην αἰτῆσαι τοῦ ἀγνοήματος καὶ οὕτω μόλις στῆναι τὸν ἐν μέσῳ τοῦ ναοῦ χεόμενον μυρόκρουνον ποταμόν.

38. Ὅσα μὲν οὖν καὶ ἄλλα τῷ μάρτυρι τεθαυμάσιωται κατὰ διαφόρους καιροὺς καὶ τρόπους καὶ ὡς ταχέως τῆς οἰκείας πόλεως ἀνίσταται εἰς ἐκδίκη-
5 σιν καὶ ὡς κήδοιτο τῆς οἰκείας κληρονομίας καὶ ἐξ ἀναγκῶν λυτροῦται φα-
νερῶς τε καὶ ἀφανῶς εἰς τοὺς κακοῦντας τὸν λαὸν αὐτοῦ, τοὺς μὲν ἀπει-
φ101 ᾽λαῖς, τοὺς δὲ μάστιξιν ἢ | σωφρονίζει ἢ θανατοῖ, ὡς πόρρω τοὺς πολεμίους ἀποσοβεῖ ἀπηνῶς ἡμῖν ἐπιχάσκοντας, ἑκοντὶ παρατρέχομεν, τὸν κόρον τοῦ λόγου φεύγοντες. Εἰ γὰρ εἰσέτι δοίημεν ἑαυτοὺς ἐρευνᾶν τὸν μαρτυρικὸν κορ-
10 βωνᾶν καὶ τοὺς τῶν θαυμάτων ἐκεῖθεν θησαυροὺς χρηματίζεσθαι, τάχιστα ἂν ἀπορησαμένοις ἡμῖν εἰς τοὐναντίον περιτραπήσεται τὰ τοῦ πράγματος, ἢ καὶ κατὰ τοὺς ἐξωκεανιζομένους ἰλιγγιάσομεν, ἀδιεξίτητα πελάγη βλέποντες ἀνοιγόμενα, σπυρίδες γὰρ ἄντικρυς ἢ νόφινοι εὐαγγελικοὶ ἢ δίκτυον ἀποστολικὸν ἢ ὑδρία ἀλεύρου προφητικὴ καὶ καμψάκης ἐλαίου τοῦ μάρτυρος τὰ
15 τεράστια ὑπερπερισσεύοντα καὶ ὑπερεκβλύζοντα.

39. ᾽Αλλ᾽ ὦ Χριστοῦ τοῦ παμβασιλέως στρατιῶτα Μέγα Δημήτριε, ὁ τῶν ἐναντίον τρεψάμενος τὴν παράταξιν· ὦ θυσία ζῶσα Θεῷ καὶ προσφορὰ δεκτὴ καὶ ὀσφράδιον· ὦ ἀπαρχὴ ἁγία, καθιερωθεῖσα τῷ κρείττονι· ὦ θαυμάτων θάλασσα, πᾶσαν περιτρέχουσα τὴν ὑφήλιον· ὦ μύρων ἄβυσσος, τὸ
20 τῆς ᾽Εκκλησίας πάσης ἀρδεύουσα καὶ μυρίζουσα πρόσωπον· ὦ προφητῶν, ὦ ἀποστόλων, ὦ μαρτύρων, ὦ διδασκάλων συναρίθμιε καὶ συμπράκτορ, συναγωνιστὰ καὶ συμμέτοχε, τὸν νοῦν, τὴν ψυχήν, τοὺς ἀγῶνας, τὴν γλῶσσαν θεοφόρητε, ἀποστολικώτατε, καρτερικώτατε, διδασκαλικώτατε· ὦ οὐρανὲ Θεοῦ τὴν δόξαν ἐκδιηγούμενε, ἶρα καὶ ἄστρασι ταῖς λόγγαις κατάστικτε, ἡ
25 τοῦ ἁλλομένου μύρου πηγή, ὁ τοῦ Θεοῦ ποταμός, οὗ τὰ ὁρμήματα τὴν πόλιν ταύτην καὶ πᾶσαν διηνεκῶς ἐπευφραίνουσιν· ὦ θρέμμα θεῖον τοῦ πρωτοποίμενος, σφαγιασθὲν αὐτῷ καὶ ἐπὶ τῆς ἄνω τραπέζης τῇ Τριάδι προταθὲν εἰς ἑστίασιν· ὦ θῦμα ἅγιον τοῦ ἄνω θυσιαστηρίου ἐπάξιον, ὅς χύσεως τῶν σῶν αἱμάτων ἀντηλλάξω καὶ μύρα καὶ θαύματα πελαγίζοντα· ὦ χάρις
30 πλευρᾶς ἁγίας, ἡ, τῇ μιμήσει τοῦ πλευρὰν λογχευθέντος Χρίστοῦ, αἱμάτων καθεκάστην βλύζει κρουνούς· τρέχομεν ὅσος λαὸς εἰς ὀσμὴν μύρων σου, πάσης ἀκαθαρσίας ὀσμὴν ἐκπλυνόμενοι· ἐνθουσιῶμεν πάντες, σκιρτῶμεν τοῖς τεραστίοις σου καὶ τὴν σεμνὴν βακχείαν βακχεύομεν, εὐφημοῦμεν, κροτοῦμεν σου τὸ μαρτύριον· οἱ παῖδες σου, ἡ κληρονομία σου, ὡς οἱ παῖδες πάλαι
35 Χριστῷ, κράζομέν σοι τὸ «Ὡσαννά, τὴν πλάνην νικήσαντι»· «μακαρία ἡ κοιλία ἡ βαστάσασά σε», ἐπιβοῶμέν σοι, «καὶ ⟨οἱ⟩ μαστοί, οὓς ἐθήλασας». ᾽Ανερχόμεθα καὶ Ζακχαῖος ἄλλος καθαπερεί, ἐπὶ μετεώρου τῶν σῶν θαυμάτων,
φ.102 ὡς ἐπ᾽ ἄλλης | συκομορέας ἰδεῖν καὶ κατανοῆσαί σου τὰ χαρίσματα καὶ ἀκουτισθῆναι φωνῆς τῆς ἁγίας σου τὴν σωτηρίαν εὐαγγελιζομένης ἡμῖν.

Ἐρχέσθω πᾶς τις ἐθελοντὴς καὶ αὐτόκλητος ἐπὶ τὸ μαρτυρικὸν δεῖπνον, εὐπάρυφος καὶ φαιδρός· οἱ διψῶντες ὅσα καὶ Σαμαρεῖτις ἐπὶ τὸ φρέαρ τόδε τῶν μύρων τρεχέτωσαν καὶ πινέτωσαν ὕδατος ζῶντος κρουνοὺς τὰ τοῦ μεγάλου θαυμάσια· οἱ ἀσθενοῦντες, ἵνα τί καὶ βραδύνομεν; ὁ μὲν διὰ τῆς στέγης χαλάσθω, τῆς ὑγείας ἐπιτευξόμενος, ὁ δὲ τεθείσθω πρὸς τῇ νέᾳ ταύτῃ προβατικῇ, τῇ κολυμβήθρᾳ τῶν μύρων, ἔνθα τὸ σφαγιασθὲν τοῦ Χριστοῦ ποθεινότατον πρόβατον ἀναπέπαυται, κολυμβήθρα, ἣν ὁ τῆς μεγάλης βουλῆς ἄγγελος καθεκάστην πρὸς ἰατρείαν ἡμῶν τῷ θείῳ αὐτοῦ κινεῖ Πνεύματι. Οἱ λεπροὶ ταῖς ἁμαρτίαις ἐρχέσθωσαν ἑαυτοὺς δεῖξαι τῷ μάρτυρι, τῷ ἱερεῖ καὶ θύτῃ τῆς οἰκείας σαρκὸς καὶ παραυτίκα καθαριζέσθωσαν· οἱ τυφλοὶ ἴσα καὶ θείῳ πτύσματι τῷ μύρῳ τοῦ μάρτυρος ἐγχριέτωσαν τοὺς ὀφθαλμοὺς καὶ βλεπέτωσαν· εἰ δέ τις καὶ κατὰ τὴν Εὐαγγελίοις συγκύπτουσαν κάτω κείηφε καὶ πρὸς τὰ πάθη ἔχει ὀλισθηρῶς, εἰ δὲ καὶ κατὰ τὸν ὑδεριῶντα ἐκεῖνον χυμοῖς τῶν παραπτωμάτων ἐξώγκωται πονηροῖς καὶ τῆς ἐντεῦθεν φύσεως εἴη ὑπόπλεως, ἀλλ᾽ ἰδοὺ ὁ Χριστομίμητος ἡμῶν ἐκ τῶν ἐγγὺς ἰατρὸς καὶ μόνῃ τῇ μετὰ πίστεως ἀδιστάκτου προσψαύσει τῆς σεπτῆς αὐτοῦ κιβωτοῦ, πᾶν πονηρὸν μακρὰν δραπετεύσειεν· οἱ ἐν κυμαγωγίαις τοῦ βίου καὶ τρικυμίαις καὶ ἀνέμοις τῶν πειρασμῶν τὸ σκάφος ὑποβυθίζοντες τῆς ψυχῆς τὸν καλὸν ἡμῶν καὶ σωτῆρα καὶ ἐπιστάτην προσκαλεσώμεθα καὶ ἐπιτιμήσει τῷ κλύδωνι καὶ κοπάσει ἡ καθ᾽ ἡμῶν τῶν δυσχερῶν ἀγριαίνουσα θάλασσα. Ἀκολουθήσωμεν διὰ παντὸς τῷ μάρτυρι οἱ χριστώνυμοι, λαλήσωμεν παρρησίᾳ Θεοῦ κεκρυμμένα μυστήρια, ἂν σύμφρουροι τῷ Μεγάλῳ γενοίμεθα, πόσην ἐντεῦθεν εὐδαιμονίαν κερδανοῦμεν τὴν κρείττονα· σκορπίον οὔπω πατήσομεν, τὸν νοούμενον· στέφος δεξόμεθα χειρὸς ἐξ ἀγγελικῆς· ὑπαλείψομεν καὶ ἄλλους πρὸς συμπλοκὴν καὶ νίκην Λυαίων τῶν νοητῶν· καταφραχθείημεν ὅπλοις ἀρετῶν· θωρακισθείημεν πανοπλίᾳ τῆς εἰς Χριστὸν πίστεως ἀκραιφνοῦς· ἂν δὲ λόγχας κινήσῃ ὁ δυσμεναίνων ἡμῖν, ἀσμένως ἀνακαλύψωμεν τὴν πλευράν, ἀσπὶς ἐντεῦθεν ἢ μᾶλλον μέλη Χριστοῦ χρηματίζοντες· δεξώμεθα καὶ λόγχας τὰς τοῦ ἐχθροῦ, ὡς νηπίων τοξεύματα καὶ μύρον ὁ Θεὸς φιλεῖ | ὀσφραίνεσθαι, φανείημεν ἐκ ψυχῆς, ὡς ἐκ πλευρᾶς ἀναβλύζοντες. φ102ᵛ

40. Ἀλλὰ δέξαι μοι τὴν ψελλίζουσαν ἅμα καὶ ἄτεχνον ταύτην γλῶσσάν τε καὶ διάνοιαν εὐμενῶς, ὁ ῥήτωρ τοῦ κηρύγματος τῆς πίστεως τοῦ Χριστοῦ, ὁ τῆς εὐσεβείας μέγας διδάσκαλος καὶ ἐν μάρτυσι συμπαθέστατος, τῆς γὰρ αὐλῆς σου ταὐτὶ καὶ ἐξ οἰκογενοῦς τὰ ψελλίσματα, ὡς βάϊα τῷ νικητῇ τῆς πλάνης τοὺς λόγους σοι προσκομίζομεν, ὡς νηπίων αἴνους, οὓς καὶ Χριστός, οὗ σὺ μιμητὴς κατηρτίσατο καὶ φιλανθρώπως ἐδέξατο· οὐκ ἐκ χρυσέων νημάτων, οὐκ ἐκ βυσσίνων κλωσμάτων, οὐκ ἐξ ἄλλης τιμίας ὕλης λόγων δηλαδὴ μεγαλοπρεπῶν καὶ ἀξίων τὴν ἱερὰν σκηνὴν συρράπτομεν τῶν θαυμάτων σου, ἀλλ᾽ ἐκ τριχῶν αἰγείων, γνώσεως ἡμῶν τῆς φαυλοτάτης καὶ πενιχρᾶς, ἐξ εὐνοίας ὅσης καὶ πίστεως. Δέξαι ταῦτα, ὁ τοῦ Χριστοῦ μιμητής, εὐμε-

νῶς καὶ κλίνον τὸ οὖς σου καὶ τῶν εὐχῶν ἡμῶν ἔσο ἐπάκουος, αἷς τὸν λόγον σφραγίζομεν, « ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐν μέσῳ τούτων εἰμί », Χριστοῦ τὸ στόμα τὸ ἀψευδέστατον εἴρηκεν.

Ἔχομεν ἰδοὺ τὸν μέγαν σὲ Θεοῦ Στρατάρχην, Δημήτριε, προπολε-
5 μοῦντα ἡμῶν· ἔχομεν ὑποστρατήγους σοι καὶ Λοῦπον καὶ Νέστορα, τοὺς γνησιωτάτους σοι καὶ συμμάρτυρας καὶ αὐτοὺς συμπνέοντάς σοι ὑπὲρ ἡμῶν καὶ συνικετεύοντας. Καὶ μὴ ἀποκάμοιτε οἱ τρεῖς τῆς Τριάδος ὑπέρμαχοι, ἡ τρίπλομος μαρτυρικὴ σφενδόνη Χριστοῦ, τοὺς καθ᾽ ἡμῶν τριστάτας, νοουμένους ἅμα καὶ αἰσθητούς, βάλλοντες λιθοβολίαις τοῦ Πνεύματος, βυθίζον-
10 τες τοῖς τοῦ μαρτυρίου ὑμῶν αἵμασιν ὡς ἐν ἐρυθρῷ πελάγει καὶ ἀποπνίγοντες, τῇ πρὸς Θεὸν ὑμῶν ἱκεσίᾳ καθοδηγοῦντες ἡμᾶς, ὡς ἐν νεφέλης στύλῳ, εἰς ἣν Θεὸς ἐπηγγείλατο, εἰρήνην κουροτρόφον τῇ πόλει ταύτῃ ἐξανατέλλοντες, τὰ σκάνδαλα καὶ πᾶν σκολιὸν ἐκ μέσου ποιούμενοι, πόρρω μακρὰν τοὺς πολεμίους ἀποδιώκοντες, εὐθηνίαν καρπῶν, εὐκρασίαν ὡρῶν καὶ πᾶν
15 χρηστὸν πρυτανεύοντες. Τοῖς εὐσεβέσιν ἡμῶν Βασιλεῦσι, κατὰ τῶν ἐναντίον ζωννῦντες μίτραν δυνάμεως, τῷ ποιμενάρχῃ ἰσχὺν ποιμάνσεως χορηγούμενοι, χάριν ἄνωθεν καταπέμποντες, ὡς ποιμένοι τὸ χριστώνυμον τοῦτο ποί-
φ.103μνιον εἰς χλόην σωτήριον | τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως, τῶν δικαιωμάτων τοῦ κρείττοτος. Καὶ ἡμῖν βραβεύοντες σωτηρίαν
20 ψυχῆς, κυβέρνησιν σώματος, βίου διόρθωσιν καὶ τῶν σφαλμάτων θεόθεν συγχώρησιν, εἰς δόξαν καὶ αἴνεσιν Πατρός, Υἱοῦ καὶ Ἁγίου Πνεύματος, τῆς μιᾶς Θεότητος καὶ Κυριότητος καὶ Δυνάμεως, ᾗ πρέπει πᾶσα μεγαλωσύνη καὶ αἴνεσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Θεσ)νίκη, Μονὴ Βλατάδων 1940 ΙΩΑΚΕΙΜ ΙΒΗΡΙΤΗΣ